PA 3851
.A4
1845
Copy 1

VITA AESOPI.

EX

VRATISLAVIENSI

AC PARTIM

MONACENSI ET VINDOBONENSI CODICIBUS

NUNC PRIMUM EDIDIT

ANTONIUS WESTERMANN

LITT. GR. ET ROM. IN UNIV. LIPS. P. P.

VITA AESOPI

VITA AESOPI.

EX

VRATISLAVIENSI

AC PARTIM

MONACENSI ET VINDOBONENSI CODICIBUS

NUNC PRIMUM EDIDIT

ANTONIUS WESTERMANN

LITT. GR. ET ROM. IN UNIV. LIPS. P. P. O.

BRUNSVIGAE

SUMPTUM FECIT GEORGIUS WESTERMANN.

LONDINI

APUD WILLIAMS ET NORGATE.

1845.

19470/12

PA3851
A4
1845
H.B. 8 Mch., '15

VIRO CLARISSIMO

GUILIELMO MAURITIO DOERINGIO

MAGISTRO OPTIMO

AMICO DILECTISSIMO

DIEM X. M. APRIL. A. MDCCCXLV

QUO DIE

ANTE VIGINTI QUINQUE ANNOS

AUSPICATUS EST

MUNUS CONRECTORIS GYMNASII FRIBERGENSIS

CONGRATULANTUR

ANTONIUS ET GEORGIUS

FRATRES

WESTERMANNI

Nosne, Doeringi, hunc diem silentio praeterire? Nos non confestim ad Te advolare gratulabundos? Nimirum, hodie si deessemus, in manifesto impietatis scelere deprehensi nobis ipsis videremur. Nam quum alter nostrum ante hos viginti quattuor annos, alter triennio post curae Tuae atque fidei commissi essemus, quo ad humanitatem informaremur, nunquam eum Te non praestitisti, quem optimum praeceptorem et propemodum alterum patrem haberemus. Huius igitur temporis fortunatissimi memoriam nunquam in animis nostris delebit oblivio. Nec postea, quum ex umbraculis in solem atque pulverem processissemus, eodem, quem antea experti eramus, erga nos animo esse unquam desiisti, sed ex magistro factus es amicus dilectissimus. Itaque gratulamur hunc diem, quo ante viginti quinque annos Dresda Fribergam evocabare, primum Tibi, quem meritis ille atque gratis auxit honoribus, deinde nobis, quibus sic demum a Te liberaliter erudiri contigit, denique scholae Fribergensi, cuius Tu per

longam annorum seriem splendidum fuisti decus atque eris adhuc diutissime, quamque nos ut almam studiorum nostrorum matrem pie sancteque, dum erimus, venerabimur. Quod autem in huius diei memoriam edidimus opusculum — pudet dicere — pene sordidum, more Tuo accipe benevole ac, si potes, gravi lege et severo vultu. Vale.

D. Lipsiae et Brunsvigae
d. 10. m. April. a. 1845.

PRAEFATIO.

Prodit nova Aesopi vita ex libro ms. bibl. univ. Vratislaviensis, ex quo intercedente amicissimo C. F. Kampmanno in meum usum descripsit accurate M. Speccius, sem. philol. Vratisl. sodalis. Est hoc ipsum apographum Coberianum, de quo multus est Reiskius in epist. ad G. E. Lessingium d. 13. m. Febr. a. 1773 (vid. Lessingii opp. ed. Berol. 1827. t. XXVI. p. 343 sq. et 351 sq.). Narrat ille igitur, Coberum quendam, postea conrectorem gymnasii Budissini factum, a. 1760 cum Bianconio, electoris Saxoniae medico, cuius tum liberos privatim instituebat, Monacum venisse, eundemque, postquam per annum ibi usus esset bibliotheca electorali, deinde domini iussu Vindobonum, Florentiam, Mediolanum, Romam ad compilandas ubique bibliothecas sese contulisse; quo ex itinere biennio post reducem factum res quasdam litterarias secum abstulisse haud spernendas, in quibus hoc vitae Aesopi apographum. Emit cum aliis Ch. L. Stieglitzius, coll. senat. Lips. assessor: quo mortuo a. 1772, proscripta iam atque instante eiusdem librorum auctione Reiskius, qui omnia tunc, quae ad Aesopum pertinent, Lessingii sui caussa ardentissime conquirebat, nuntio accepto libellum celeriter arcessit, coniugi describendum tradit: Reiskia, qua fuit Graecarum litterarum peritia, triduo vel quatriduo rem absolvit: tum maritus cum coniuge relegit, Reiskia ex Coberi exemplari Graeca recitat, apographum confert Reiskius et inter legendum raptim quae in mentem veniunt emendationes in margines coniicit: transacta re Coberi exemplar redditur, auctio fit, emit opinor J. G. Schneiderus Saxo, qui Lipsiae tunc in litteras incubuit. Certe huius ex libris a. 1823 demum cum aliis haec

vita Aesopi transiit in bibliothecam univ. Vratislaviensis, quam ipsum esse Coberi apographum ex eo apparet, quod bis terve in margine leguntur notulae ab eadem qua textus manu scriptae addito Coberi nomine; reliquas autem quibus oppleti sunt margines emendationes ab ipso Schneidero adiectas esse ait Kampmannus. Reiskiae apographum quo nunc lateat nescio. At maxime dubium est, quod nescio quo iure quove auctore dicit Reiskius, Coberum hanc Aesopi vitam Monaci repperisse; nihil certe quicquam de hac ipsa in bibl. Bavar. catalogo tradit J. Hardtius. Itaque haud scio an Coberus descripserit in Italia ex codice quem in bibliotheca monachorum Casinensium Florentiae vidit B. Montefalconius, cuius verba haec sunt Diar. Ital. p. 366: *cod. bomb. saec. XIII. Aesopi vita et eiusdem fabulae, ut ante Maximum Planudem exstabant, stylo χυδαίῳ. Planudes enim Aesopi cum vitam tum fabulas longe diverso stylo suoque more conscripsit. initium vitae sic habet: βίος τοῦ πανθαυμάστου αἰσώπου. οὐ κατὰ πάντα τὸν βίον βιωφελέστατος ἦν Αἴσωπος.* Accuratius descripsit librum doctus vir nescio qui in Novelle litterarie no. 40. Firenze 1. Oct. 1779, iterum F. de Furia fabb. Aes. ed. p. XXXII sqq. Sola quae ab initio statim verba Coberus habet, *Αἴσωπος ὁ μυθοποιὸς Φρὺξ τὸ γένος, τύχῃ δὲ δοῦλος*, dubitationem afferunt; sed possunt haec ab homine satis, ut videtur, incurioso aliunde huc illata esse, praetereaque eiusdem libri exscribendi Coberum consilium certe suscepisse, ut alios mittam, de Furia quoque affirmat p. XXXI.

Sed non haec sola est Aesopi vita a vulgata, h. e. Planudea, discrepans. Aliam vidit P. Ramolinus in coenobio S. Mariae Grottae Ferratae haud procul Tusculo: eiusdem ex litteris, auctore Harlesio in Fabricii bibl. gr. I. p. 635, a. 1789 in Ephemm. Norimberg. no. L. rettulit de Murr, continere hunc codicem Aesopi vitam sic inscriptam, *βίβλος (βίος?) ξάνθου φιλοσόφου καὶ αἰσώπου δούλου αὐτοῦ· περὶ ἀναστροφῆς αἰσώπου*, et incipientem his verbis, *ὁ πάντα βιοφελέστατος* (sic) *αἴσωπος ὁ λογοποιός*: attico sermone esse conscriptam et prolixiorem quam vitam a Maximo Planude compositam; constare enim 72 paginis minusculo charactere refertis cum aliquot correctionibus

et notulis in margine. Codex sub finem saeculi proximi ablatus quo nunc sit loco non liquet, sed eundem iussu Villemainii iamiam indagari nuntiat F. Boissonadius in nova Babrii fabb. edit. p. X. Aliam in quadam montis Sacri bibliotheca quattuor abhinc annos invenit M. Mynas (vid. Journal des Débats d. 15. Nov. 1843, Moniteur d. 5. Jan. 1844); quanquam est cur suspicemur ab ea, de qua modo dixi, non diversam esse. Quarta est in cod. bibl. Laurent. Florent. plut. LVII, 30: teste Bandinio cat. codd. gr. bibl. Laur. II. p. 383 duplex est, 1. valde longa inc. *ὁ κατὰ πάντα τὸν βίον γενόμενος*, expl. *καὶ ἐκκλησίαν ποιήσαντες ἐξεδίκησαν τὸν τοῦ αἰσώπου μόρρων* (sic), 2. brevissima inc. *αἴσωπος ὁ μυθοποιὸς φρὺξ μὲν ἦν τὸ γένος*, expl. *τὰ ἐν ἑκάστῳ μυθολογούμενα, ἅπερ εἰσὶ ταῦτα.* Eadem est cum priore et ex eodem fortasse libro descripta, quae exstat in cod. olim Augustano, nunc Monacensi 525. saec. XIV; inscribitur *βίος αἰσώπου τοῦ φιλοσόφου*, inc. *ὁ κατὰ πάντα τὸν βίον* (fol. 1. abscissum alieno loco insertum est, cod. fol. 154, cf. Hardtii catal. V. p. 314), expl. *τὸν τοῦ αἰσώπου μόρον* (ibid. p. 299). Et haec quidem Coberianae tam est consimilis, ut propemodum pro eadem habenda, neque dubium sit quin altera ex altera profluxerit: idem in utraque ordo rerum, eadem narrationis continuitas, idem dicendi genus: in singulis verbis tantum est quod differat. Neque diversa opinor est quae exstat in cod. bibl. S. Synodi Mosquensis 285. teste C. F. Matthaei in praef. ad Syntipae fabb. p. X. hoc modo incipiens, *κατὰ πάντα τὸν βίον γενόμενος βιωφελέστατος αἴσωπος οὗτος τῇ μὲν τύχῃ γέγονε δοῦλος.* Quam vero brevissimam dicit Bandinius, quamque rectius praefationem in fabulas Aesopicas dicas, eam quoque non ex solo Laurentiano novimus. Exstat eadem in cod. Casinensi teste de Furia p. VII. et hinc in Coberiano nostro apographo, item in cod. Monacensi 551. saec. XV. sic inscripta, *βιβλίον μυθικὸν τοῦ ἐσώπου εἰκονίζων ἀπὸ τῶν ἀλόγων ζώων πρὸς τὰς τῆς ἀνθρωπίνης φύσεως πράξεις, προοίμιον* (cf. Hardtii catal. V. p. 400) et in cod. bibl. Vindob. phil. gr. 178. Verum ista nova non est: Aphthonio tribuitur et cum huius progymnasmatis et fabulis cum notis Hadamarii iam aliquoties prodiit, primum apud Hier. Commelinum a. 1597.

Hinc apparet, quantum desudarint sequioris aevi homines in Aesopi si diis placet rebus enarrandis, exornandis, plebi certatim propinandis. Auctores indagare frustra studeas: istae enim nugae, id quod accidit etiam historiae Alexandri M. Callistheneae quae dicitur, ex parvis initiis ortae nullo, ut ita dicam, auctore, sed sponte quasi, per ora fabulatorum propagatae, alio aliud ad delectandos auditores adiiciente in dies magis atque magis excreverunt, donec existerent qui fabulas longa consuetudine per populum late diffusas litteris consignandas sibi sumerent.

Quae nunc primum prodit vita, ut ad hanc iam redeam, decimo saeculo vix est antiquior. Scripta est vulgari sermone ac satis simpliciter; semel tantum qui scripsit eruditionis speciem aliquam affectavit laudandis versibus Euripidis cap. 5, nisi eodem referri vis intextos hic illic antiquos trimetros trimetrorumque fragmenta, quo spectat maxime cohortatio Aeni filii cap. 19, a librariis aliquoties singulatim descripta (exstat ista enim in cod. Lugd. Batavo 53. et Vindob. theol. graec. 128.*), neque

*) Descripsit cohortationem ex lib. Vind. a me rogatus H. E. Poeschelius v. cl.: quae quoniam a nostra et ab edita multum discrepat, totam hic adponam. *Αἰσώπου πρὸς Αἶνον* (h. e. *Αἶνον*) *μαθητὴν αὐτοῦ νουθεσία. ἐπάκουσον τῶν ἐμῶν λόγων, τέκνον Αἶνε, δι' ὧν καὶ πρότερον παιδευθεὶς οὐ δικαίας μοι χάριτας ἀποδέδωκας. καὶ νῦν οὖν φύλαξον τούτους ὡς παρακαταθήκην. καὶ πρῶτον μὲν θεὸν σέβου, ὡς δεῖ. βασιλέα τίμα· τὸ γὰρ κράτος ἰσότιμόν ἐστι. τὸν καθηγητήν σου τίμα ἶσα γονεῦσι· τούτους γὰρ εὖ ποιεῖν χρὴ διὰ τὴν φύσιν, τῷ δὲ ἐκ προαιρέσεως στέρξαντι διπλᾶσίους δεῖ ἀποδιδόναι χάριτας. τὴν καθημερινὴν τροφὴν χρησίμην λάμβανε, καθόσον* (*καθὸν* cod.) *δύνῃ, ἵνα καὶ εἰς αὔριον ἐργατικώτερος* (*ἐρευτικώτερος* cod.) *ᾖς καὶ οὕτως ὑγιαίνῃς. ἐν βασιλικῇ αὐλῇ ἐάν τι ἀκούσῃς, τοῦτο ἐναποθανέτω σοι, μὴ σὺ ἐν τάχει ἀποθάνῃς. τῇ γυναικί σου χρηστὰ ὁμίλει, ὅπως ἀνδρὸς ἄλλου πεῖραν μὴ θέλῃ λαβεῖν· κοῦφον γὰρ τὸ γένος τοῦτό ἐστιν καὶ κολακευόμενον ἔλαττον οὐ* (sic) *φρονεῖ ἁμαρτάνειν. ἐν οἴνῳ μὴ φιλολόγει ἐπιδεικνύμενος παιδείαν· ἀκαίρως γὰρ κατασοφιζόμενος καταγελασθήσῃ. ὀξύτερα βάδιζε τῆς γλώττης. τοῖς εὖ πράττουσι μὴ φθόνει, ἀλλὰ σύγχαιρε, καὶ μεθέξεις αὐτῶν τῆς εὐπραξίας· ὁ γὰρ φθονῶν ἀγνοῶν ἑαυτὸν βλάπτει. δούλων σου ἐπιμελοῦ, μεταδιδοὺς αὐτοῖς ἀφ' ὧν ἔχεις, ἵνα μὴ ὡς κύριον μόνον ἐντρέπωνταί σε, ἀλλὰ καὶ ὡς εὐεργέτην τιμῶσιν. θυμοῦ κράτει. ἐάν τι παρηκμακὼς μανθάνῃς, μὴ αἰσχυνθῇς· βέλτιον γὰρ ὀψιμαθῆ μᾶλλον ἢ ἀμαθῆ καλεῖσθαι. τῇ γυναικί σου κρύπτου καὶ ἀπορρήτων μηδὲν αὐτῇ δῆλον τίθει· τὸ γὰρ γένος ἀντίπαλον ὂν πρὸς τὴν συμβίωσιν, ὅλην τὴν ἡμέραν καθημένη ὁπλίζεται, μηχανωμένη πῶς σου κυριεύσει.*

aliunde ducta sunt plurima eorum quae ex cod. Paris. 1166. protulit Boissonadius Anecd. gr. I. p. 120 sq.). Sed satis est apponere verba Reiskii non recte modo et apposite, sed etiam facete et ridicule de toto hoc commento iudicantis. Sic igitur ille l. l. p. 352 sq. *Diese vita Aesopi ist an sich eine Schnurrpfeife, eine elende Kurzweile für Hanshagel, und in dessen Mundart, überall platt, überall abgeschmackt, bisweilen aber auch vollends so zottelich, dass ich Sie, werthester Freund, bitten muss, es ja keine Christenseele wissen zu lassen, dass meine Frau durch ihre Feder solchem — in die Welt geholfen hat. Denn ich und sie würden dafür erröthen müssen. Doch es sind griechische Zoten. Die hält man einem Frauenzimmer zu gute. Die Fremdheit und die Miene der Gelahrtheit überschatten das Hässliche. Konnte der ehrliche fromme Pater Montfaucon es wagen, seiner Kutte unbeschadet, die Ausgabe dieses saftigen Dingelchens zu versprechen, wiewohl es nur beim Versprechen geblieben ist, so dürfen wir drei doch wohl ohne alles Bedenken in seine Stelle einrücken und Theil an seinem Ruhme nehmen. Denn dieses von München hergekommene Werkchen ist just eben dasselbe, das Montfaucon aus einer Florentinischen Handschrift ediren wollte. Siehe Itinerarium Italicum p.* [366.] *Ist es nun gleich so beschaffen, dass die Ausgabe desselben zu nicht viel mehr dienen kann, als den Leuten*

τὸν καθημερινόν σου βίον ζήτει πρὸς τὸ λαμβανόμενον καὶ εἰς αὔριον ἀποθησαυρίζειν· βέλτιον γὰρ ἐχθροῖς καταλιπεῖν ἢ ζῶντα τῶν φίλων ἐπιδέεσθαι. ἶσος ἐν τέκνοις καὶ κυνὸς (sic) γίνου τοῖς συναντῶσί σοι, εἰδὼς ὅτι καὶ τῷ κυνὶ ἡ οὐρὰ ἄρτον πορίζει, τὸ δὲ στόμα πληγάς. ἐπὶ σωφροσύνῃ μεγαλοφρόνει, μὴ ἐπὶ χρήμασι· τὰ μὲν γὰρ καιρὸς ἀφείλετο, ἡ δὲ ἀπόρθητος διαμένει. ἐὰν εὐτυχήσῃς, μὴ μνησικακήσῃς τοῖς ἐχθροῖς, μᾶλλον δὲ αὐτοὺς εὖ ποίει, ἵνα μεταμέλωνται, γνωρίζοντες οἷον ἄνδρα ἠδίκουν. δυνάμενος ἐλεεῖν μὴ μέλλε (μέλε cod.), ἀλλὰ κοπία διδούς, ἐπιστάμενος τὴν τύχην (ψυχὴν cod.) μὴ οὖσαν παράμονον. ψίθυρον καὶ διάβολον ἄνδρα, εἰ καὶ ἀδελφός σού ἐστι, γευσάμενον πρὸς καιρὸν ἔκβαλλε· οὐ γὰρ ἕνεκα τοῦ εὐνοεῖν τοῦτο ποιεῖ, ἀλλ' ὡς τὰ ὑπὸ σοῦ λεγόμενα ἢ πραττόμενα ἑτέροις ἀναθήσεται. ἐπὶ μεγάλῃ κτήσει μὴ χαῖρε, μηδὲ ἐπὶ μικρᾷ λυποῦ. ταῦτα δὲ εἰπὼν ὁ Αἴσωπος πρὸς τὸν νεανίσκον ἀπεχωρίσθη, ὁ δὲ Αἶνος λυπούμενος ἐπὶ τῷ ἠδικηκέναι αὐτὸν καὶ διὰ λόγων μεμαστιγῶσθαι ἀποκαρτερήσας τὸν βίον ἀπέληξεν, ὁ δὲ Αἴσωπος λαμπρῶς αὐτὸν ἔθαψε.

aus dem Traume zu helfen, und sie zu überführen, dass es niemals hätte sollen gedruckt werden, so kann es, seiner Dürftigkeit und Ungereimtheit ungeachtet, dennoch auf eine oder die andere Weise bedeutend werden. Erstlich kann man es gegen die gedruckte vitam Planudeam halten. Zweitens, wie es im Lateinischen keine Kleinigkeit ist, dass wir an Hygino eine Probe des gemeinen, platten, pöbelhaften Lateins noch übrig haben, und Munkeri Nase sich über dieser Olla putrida gar wohl befand; so ist auch kein Zweifel, dass nicht mit der Zeit mancher griechische Pedant in diesem Misthaufen des griechischen Patois störlen und manche schöne Perle darin finden sollte, die er in die Krone des Neuen Testaments hineinsetzen kann, zum Beweise, dass dasselbe gut griechisch geschrieben sei.

Restat ut paucis librorum notas explicem. Est igitur **C** Vratislaviense Coberi apographum, **M** Monacensis 525, quem inde a verbis c. 2. *Αἴσωπος λέγει ἀγόρασον* usque ad verba c. 6. *ὧν μὲν ἐπιφέρεται* iam ante hos quinque annos in usum meum contulit G. Thomas; **v** est vita Planudea, cuius habui ed. Aldi a. 1505. In altera vita accessit **V** Vindobonensis phil. gr. 178, cuius lectiones officiose mecum communicavit H. E. Poeschelius: **v** indicat scripturam ed. a. 1597. Ceterum Schneideri emendationum quicquam supprimere religioni habui: reliquae meae sunt omnes.

Βίος τοῦ πανθαυμάστου Αἰσώπου.

(1) *Ὁ κατὰ πάντα τὸν βίον βιωφελέστατος ὢν Αἴσωπος τῇ μὲν τύχῃ γέγονε δοῦλος, τῷ δὲ γένει Φρὺξ ἐξ Ἀμορίου τῆς Φρυγίας, κακοειδὴς ὑπάρχων εἰς ὑπερβολήν, προκέφαλος, κοντοτράχηλος, σιμός, μέλας, μυστάκων, προγάστριος, στρεβλός, κυφός, ἡμερινὸν ἁμάρτημα, τὸ δὲ χαλεπώτερον, ἦν καὶ βραδύγλωσσος καὶ βομβόφωνος, φαῦλός τε καὶ δεινὸς πρὸς κακουργίαν σφόδρα. τοῦτον οὖν ὁ αὐτοῦ κύριος ὡς ἄχρηστον ὄντα εἰς ὑπηρεσίαν αὐτοῦ, ἐξέπεμψεν αὐτὸν εἰς ἓν τῶν κτημάτων αὐτοῦ σκάπτειν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν παραγενομένου τοῦ κυρίου αὐτοῦ ἐπὶ τὸν ἀγρὸν γεωργός τις τρυγήσας κάλλιστα σῦκα προσήνεγκεν αὐτῷ, καί φησι „λάβε, δέσποτα, ἀπὸ τῶν σῶν καρπῶν πρώιμον ὀπώραν“. ὁ δὲ πάνυ τερφθεὶς ἐπὶ τούτοις εἶπε „μὰ τὴν σωτηρίαν μου, κάλλιστα σῦκα“. εἶτα λέγει τῷ οἰκέτῃ αὐτοῦ „Ἀγαθόπου, λαβὼν ταῦτα φύλαξον καὶ μετὰ τὸ λούσασθαί με καὶ ἀριστῆσαι παράθες μοι αὐτά“. συνέβη δὲ κατὰ τὴν ὥραν ἐκείνην ἀνανεῦσαι τὸν Αἴσωπον ἀπὸ τοῦ ἔργου καὶ ἐλθόντα ζητεῖν τὸν ἐφήμερον ἄρτον. ὁ οὖν Ἀγαθόπους λαβὼν τὰ σῦκα καὶ λιχνευσάμενος ἔφαγεν ἐξ αὐτῶν ἓν καὶ δύο. εἶτα λέγει πρός τινα τῶν συνδούλων αὐτοῦ „ἤθελον κορεσθῆναι τῶν σύκων, καὶ φοβοῦμαι“. ὁ δέ φησιν „ἐὰν φάγω κἀγὼ μετὰ*

Inscr. *Αἴσωπος ὁ μυθοποιὸς Φρὺξ τὸ γένος, τύχῃ δὲ δοῦλος. Βίος τοῦ πανθαυμάστου Αἰσώπου* C. ‖ 1. *ὁ — ὢν*] *οὐ — ἦν* C, *ὃς — ἦν* Schneiderus. *ὁ κατὰ πάντα τὸν βίον γενόμενος βιωφελέστατος αἴσωπος οὗτος τῇ* mg. Casinensis teste de Furia p. XI. ‖ 2. *Ἀμορίου* v, *Ἀμωρίου* Schneiderus, *ἀμωραι . .* C. ‖ 5. *καθημερινὸν* Schneiderus, sed latet fortasse vocabulum cum *ἡμι* compositum. ‖ 11. *ἄλλιστα* C.

σοῦ, δώσω σοι βουλήν, καὶ φαγόντες οὐ μαστιχθῶμεν.“ ἔφη δὲ πρὸς αὐτὸν ὁ Ἀγαθόπους „πῶς ἢ ποίῳ τρόπῳ;“ ὁ δέ φησιν „φάγωμεν οἱ δύο τὰ σῦκα, καὶ ἐὰν ὁ δεσπότης ἡμῶν ἐπιζητήσῃ ταῦτα, εἰπὲ ὅτι Αἴσωπος ἐλθὼν ἀπὸ τοῦ ἀγροῦ καὶ ἄδειαν εὑρών, εἰσελθὼν κατέφαγε τὰ σῦκα. καὶ ὁ μὲν Αἴσωπος βραδύγλωσσος ὢν πρὸς ἀπολογίαν δαρήσεται καὶ ἡμεῖς τὴν ἐπιθυμίαν πληρώσομεν.“ καὶ παρακαθεσθέντες τὰ σῦκα ἕνα ἕνα τρώγοντες ἔλεγον „οὐαί σοι ταπεινὲ Αἴσωπε.“ συμφωνήσαντες οὖν οἱ δύο ἔφαγον ὅλα τὰ σῦκα. ὁ δὲ κύριος αὐτῶν μετὰ τὸ λούσασθαι „Ἀγαθόπου, φέρε τὰ σῦκα.“ κἀκεῖνος ἔφη „δέσποτα, ὁ Αἴσωπος εὐκαιρήσας καὶ εὑρὼν τὸ ταμεῖον ἀνεωγμένον, εἰσελθὼν ἔφαγε τὰ σῦκα.“ ταῦτα ἀκούσας ὁ δεσπότης καὶ θυμωθεὶς ἐβόα „Αἴσωπόν τίς μοι καλεσάτω.“ ὁ δὲ Αἴσωπος παρεγένετο. καί φησιν ὁ δεσπότης „λέγε μοι σύ, ἐπικατάρατε δοῦλε, τοσοῦτόν μου κατεφρόνησας καὶ εἰσελθὼν ἐν τῷ ταμείῳ τὰ ἡτοιμασμένα σῦκα κατέφαγες;“ ὁ δὲ Αἴσωπος ἀκούσας, λαλεῖν μὲν μὴ δυνάμενος διὰ τὸ τῆς γλώττης βραδύ, διὰ δὲ τοῦ νοὸς τὴν ὀξύτητα, θεωρῶν δὲ καὶ τοὺς κατηγόρους αὐτοῦ εἰς ὄψιν αὐτοῦ ἑστῶτας. καὶ μέλλων δαίρεσθαι ὁ Αἴσωπος, πεσὼν παρὰ τοὺς πόδας τοῦ κυρίου αὐτοῦ παρεκάλει μικρὸν ἐνδοῦναι αὐτῷ, καὶ δραμών, λαβὼν ξέστην καὶ θερμὸν συγκεράσας καὶ λεκάνην παραθείς, ἐκπιὼν τὸ θερμὸν ἐχάλασε τοὺς δακτύλους αὐτοῦ ἐπὶ τὸ ἴδιον στόμα καὶ σπαράξας αὐτὸν ἀνέβαλλε τὸ ὕδωρ καὶ μόνον ἐκ τοῦ στομίου αὐτοῦ ὃ ἐπεπώκει· οὐδενὸς γὰρ ἄλλου ἦν γευσάμενος παράπαν ὁ Αἴσωπος. ἐδέετο δέ, ἵνα καὶ οἱ κατήγοροι αὐτοῦ τοῦτο ποιήσωσι καὶ ἐν τούτῳ γνώσῃ τὸν βεβρωκότα τὰ σῦκα. ὁ δὲ δεσπότης αὐτοῦ θαυμάσας τὸ νοερὸν τοῦ Αἰσώπου ἐπέταξε καὶ τοῖς ἄλλοις ὁμοίως ποιῆσαι. οἱ δὲ δοῦλοι ἐβουλεύσαντο τοὺς δακτύλους πέμψαι παρὰ τὰς γνάθους καὶ κάτω μὴ χαλάσαι· ἅμα δὲ τῷ πιεῖν αὐτοὺς τὸ χλιαρὸν ὕδωρ καὶ συγκύψαι τὰ

8. an ἕνα καθ' ἕνα? ‖ 15. μου] μοι supra ου addito C. ‖ 19. post ὀξύτητα deest aliquid, velut συνιείς, quanquam vel sic hiat oratio, nisi ἦν simul cum v addas. ‖ 20. ἑστῶτας Schneiderus, ἑστῶσας C. ‖ 22. ξέστην Coberus, graeca fere erasa erant. ‖ 23. ἐκπιὼν Schneiderus, ἐπιὼν C. ‖ 24. αὐτὸν C. ‖ 25. ἐπεπόκει C.

σῦκα χολοποιὰ ὄντα πρὸς τὸ στόμα ἀνέλθοσαν καὶ ἀνέδραμον ἔξωθεν. ταῦτα δὲ ὁ δεσπότης αὐτῶν ἰδὼν εἶπε „τί κατεψεύσασθε τοῦ μὴ δυναμένου λαλεῖν;" καὶ ἐκέλευε μὲν αὐτοὺς γυμνωθέντας τύπτεσθαι καὶ πομπεύεσθαι λέγων „ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτὸς καθ' ἑαυτοῦ τοῦτο πανθάνει".

(2) Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ὁ δεσπότης αὐτῶν εἰς τὴν πόλιν εἰσῄει. τοῦ δὲ Αἰσώπου εἰς τὸν ἀγρὸν σκάπτοντος ὁ ἱερεὺς τῆς Ἴσιδος πλανηθεὶς τὴν λεωφόρον ἦλθεν εἰς τὸν ἀγρὸν καὶ παρεκάλει τὸν Αἴσωπον, δεῖξαι αὐτῷ τὴν ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν πόλιν. ὁ δὲ Αἴσωπος ἀγαγὼν αὐτὸν ὑπὸ σύσκιον δένδρον παρέθηκεν αὐτῷ ἄρτον καὶ ἐλαίας καὶ ἰσχάδας καὶ φοίνικας καὶ ἠνάγκαζε φαγεῖν, καὶ δραμὼν εἰς τὸ φρέαρ ἀνιμήσατο ὕδωρ καὶ ἤνεγκεν αὐτῷ πιεῖν, καὶ κρατήσας τῆς χειρὸς αὐτοῦ ἐξήνεγκεν αὐτὸν εἰς τὴν κατ' εὐθεῖαν ὁδὸν καὶ τετριμμένην. ὁ δὲ ἐπάρας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ηὔξατο Αἰσώπῳ ὡς ὑπ' αὐτοῦ εὐεργετηθείς. Αἴσωπος δὲ στραφεὶς καὶ ὑπὸ τοῦ καύματος χαυνωθεὶς εἰς ὕπνον ἐτράπη. ἡ δὲ Φιλοξενία ἐπιστᾶσα καθ' ὕπνον ἐχαρίσατο αὐτῷ σοφίας ἄριστον λόγον καὶ ταχύτητα γλώττης καὶ ἐτυμολογίας εὕρεσιν διὰ ποικίλων μύθων ὡς ἀγαπητικὸν καὶ φιλόξενον. ὁ δὲ Αἴσωπος ἐκ τοῦ ὕπνου ἐγερθείς φησιν „οὐαί, πῶς ἡδέως κεκοίμημαι· ἀλλὰ καὶ καλὸν ὄναρ ἐθεασάμην, καὶ ἰδού, ἀκωλύτως λαλῶ καὶ τὰ βλεπόμενα ὀνομάζω, δίκελλα, ὄνος, βοῦς, ἅμαξα. νὴ τοὺς θεούς, ἐγὼ πόθεν ἔλαβον τὴν χάριν; νενόηκα, εὐσεβήσας εἰς τοὺς ξένους, ὥστε προσδεκτὸν παρὰ τῷ θεῷ τὸ ἀγαθοποιεῖν, ὁ δὲ καλῶς πράσσων λήψεται καλὰς ἐλπίδας". περιχαρὴς οὖν γενόμενος ὁ Αἴσωπος καὶ πάλιν τὴν δίκελλαν ἀναλαβὼν ἤρξατο μετὰ πόνου σκάπτειν. ὁ δὲ τῶν ἀγρῶν οἰκονόμος εἰς τὸ ἔργον παραγενόμενος ἕνα τῶν οἰκετῶν ῥάβδῳ κατέξαινεν, ὁ δὲ Αἴσωπος προσπαθήσας ἔφη „ἄνθρωπε, τί τὸν μηδέν σε ἀδικήσαντα οὕτως πονηρῶς αἰκίζεις καὶ πάντας οὕτω εἰκῇ καὶ μάτην

1. χολοποιὰ Schneiderus, χαλοποιὰ C. ‖ 5. ὅστις — πανθάνει trimetros esse apparet, quorum alter fortasse sic scribendus, αὐτὸς καθ' αὑτοῦ τοῦτο δράσας λανθάνει. ‖ 12. σύκιον C: ὑπὸ σκιὰν δένδρον v. ‖ 17. Αἰσώπῳ Schneiderus, Αἴσωπον C. ‖ 33. αἰκίζῃ Schneiderus.

κατὰ πᾶσαν ἀποκτενεῖς ἡμέραν, μηδὲν αὐτὸς ἐργαζόμενος; ἀλλ᾿ ἐγὼ τῷ δεσπότῃ ἀναγγελῶ ἅπαντα". ὁ δὲ Ζηνᾶς ἀκούσας τοῦ Αἰσώπου ταῦτα λαλοῦντος ἐθαμβήθη καί φησιν „Αἴσωπος λαλεῖν ἀρξάμενος ἐμοὶ ἐκεκρούκει· προκαταλάβωμαι αὐτοῦ ἐπὶ τοῦ δεσπότου, ἵνα μὴ ἐλθόντος αὐτοῦ κατηγορήσας με μεταστήσῃ τῆς οἰκονομίας". καὶ ταῦτα εἰπών, ὑποζυγίῳ ἐπιβὰς εἰς τὴν πόλιν εἰσῄει, παραγενόμενος δὲ πρὸς τὸν δεσπότην εἶπε „χαίροις". ὁ δὲ ἔφη, τί τεταραγμένος παρῄει. καὶ ὁ Ζηνᾶς (οὕτω γὰρ ἦν ὄνομα αὐτῷ) „δέσποτα, πρᾶγμά τι τερατῶδες ἐν τῷ ἀγρῷ σου συνέβη". ὁ δέ φησι „τί; μὴ δένδρον ὄψιμον παρὰ καιρὸν τὸν καρπὸν ἤνεγκεν, ἢ κτῆνος τετράπουν παρὰ φύσιν ἐγέννησεν;" ὁ δὲ „οὔ" φησίν, „ἀλλ᾿ Αἴσωπος λαλεῖν ἀρξάμενος στωμύλος γέγονεν." καὶ ὁ δεσπότης φησὶ πρὸς αὐτόν „μηδέν σοι τῶν ἀγαθῶν γένοιτ᾿ ἄν, τοῦτο νομίζεις τερατῶδες εἶναι σημεῖον; καὶ μάλα" φησίν „οἱ χολωθέντες ἄνθρωποι πρὸς ὀλίγον πάλιν διαλλαγέντες ἐχαρίσαντο." ὁ δὲ Ζηνᾶς „δέσποτα, λαλεῖν ἀρξάμενος πάντα ὑπὲρ ἄνθρωπον φθέγγεται· εἰς ἐμὲ γὰρ ὕβρεις τραχείας φέρει, εἰς σὲ δὲ καὶ τοὺς θεοὺς μεγάλα βλασφημεῖ." ὀργισθεὶς δὲ ὁ κύριος αὐτοῦ λέγει τῷ Ζηνᾷ „ἰδού, ἀπὸ τοῦ νῦν κεχάρισταί σοι, πώλησον, χάρησον, ἀπόλυσον, ὃ βούλει πρᾶξον εἰς αὐτόν." ὁ δὲ Ζηνᾶς λαβὼν αὐτοῦ ἐγγράφην τὴν δωρεὰν τῆς ἐξουσίας Αἰσώπου, ἐλθὼν εἰς τὸν ἀγρὸν ἐκάλεσε τὸν Αἴσωπον, καὶ λέγει αὐτῷ „Αἴσωπε, ἐχαρίσθης μοι παρὰ τοῦ δεσπότου, ἵνα ὃ δοκήσοιμι εἴς σε διαπράξωμαι· συνιδὼν οὖν, ὅτι σὺ στωμύλος εἶ, βούλομαί σε πιπράσαι." ὁ δέ φησιν „ὃ βούλει πράξαι." ἔτυχεν οὖν κατὰ τὸν καιρὸν ἐκεῖνον κατὰ συγκυρίαν σωματέμπορον ἔγγυς τοῦ ἀγροῦ παριέναι καὶ ζητεῖν μισθώσασθαι ἢ ἐξωνήσασθαι κτήνη διὰ τὰ σωμάτια. συναντήσας οὖν τῷ Ζηνᾷ

2. ἀναγγείλω C, ἀπαγγελῶ Schneiderus. ‖ ξήνας et sic porro Schneiderus, sed vid. v. 9. ‖ 4. προσεκεκρούκει Schneiderus. ‖ προκαταλάβωμαι Schneiderus, προκαταλάβομαι C. ‖ 6. με add. Schneiderus. ‖ 16. post φησίν haud scio an nonnulla exciderint. ‖ ἄνθρωποι Schneiderus, ἀνῶ C. ‖ 21. χάρησον] χαρίζου Schneiderus. an barbare δάρησον? sed fortasse sufficit χάρισον, cf. var. lect. p. 18, 12. ‖ 23. ἐγγράφην] συγγραφὴν Schneiderus. ‖ 25. παρὰ τοῦ Schneiderus, παρ᾿ αὐτοῦ C. ‖ δοκήσοιμι] δοκήσοι μοι Schneiderus. ‖ 27. πρᾶξον Schneiderus. ‖ 29. ἐγγὺς τοῦ] ἐν αὐτοῦ C, ἐνταῦθα τοῦ Schneiderus.

γνωστῷ ὄντι αὐτῷ καὶ φίλῳ ἠσπάσατο αὐτόν, καί φησιν „ἔχεις μερικὰ κτήνη μισθώσασθαι ἢ πωλῆσαι;“ Ζηνᾶς εἶπεν „οὔ, σωμάτιον δὲ ἔχω ἀρρενικόν· εἰ οὖν θέλεις, ἀγόρασον.“ καὶ ὁ ἔμπορος „δεῖξόν μοι αὐτό.“ ὁ δὲ Ζηνᾶς στείλας ἐκάλεσεν Αἴσωπον καί φησι τῷ ἐμπόρῳ „ἰδοὺ ὁ παῖς, εἰ θέλεις ἀγόρασον.“ στραφεὶς δὲ ὁ ἔμπορος καὶ τὸν Αἴσωπον ἰδὼν μέγα γελάσας εἶπε „πόθεν σοὶ ἡ χύτρα αὕτη; ῥιζοκάλαμόν ἐστιν ἢ ἄνθρωπος; οὗτος τῆς τερατομαχίας σαλπιστής ἐστι. βαβαί, εἰ μὴ φωνὴν εἶχεν, εἰρήκοι τις ὅτι ἀσκοκήλη ἐστίν. ὦ Ζηνᾶ, μόνον τῆς ὁδοῦ με πεπλάνηκας ἕνεκεν τοῦ καθάρματος τούτου, δοκῶν τι ἀγαθὸν πιπράσκειν;“ καὶ ταῦτα εἰπὼν ἐπορεύετο. καταδραμὼν δὲ αὐτὸν ὁ Αἴσωπος εἶπε „μεῖνον μικρόν.“ ὁ δὲ πρὸς αὐτόν „ἔξελθε ἀπ' ἐμοῦ, ῥερυπασμένε, ἄφες με, μηδέν σοι τῶν ἀγαθῶν γένοιτο, ὅτι, ἐάν σε ὠνήσωμαι, καλέσουσί με παρατήρημα.“ Αἴσωπος λέγει „καὶ τίνος ἕνεκεν ἐλήλυθας ἐνθάδε εἰπέ μοι.“ καὶ ὁ ἔμπορος „δοκῶν τι ἀγαθὸν ὠνήσεσθαι· σὺ δὲ σαπρὸς εἶ, καὶ κακοῦ ἐγὼ οὐ χρῄζω.“ Αἴσωπος λέγει „ἀγόρασόν με καὶ πίστευσόν μοι, πολλά σε ὠφελήσω.“ ὁ δὲ πρὸς αὐτόν „τί δύνασαί συ ὠφελῆσαί με;“ καὶ ὁ Αἴσωπος „οὐκ ἔχεις ἐν τῷ οἴκῳ σου ἢ ἐν τῷ σωματεμπορείῳ σου παιδάρια κλαίοντα ἢ ἀτακτοῦντα; ἀγόρασον οὖν με καὶ κατάστησον ἐπ' αὐτῶν παιδαγωγόν, καὶ ἔσομαι αὐτοῖς ἀντὶ μορμολυκίου φοβερίστρον.“ ὁ δὲ ἔμπορος πεισθεὶς τῷ λόγῳ αὐτοῦ, γελάσας καὶ στραφεὶς λέγει τῷ Ζηνᾷ „πόσον τι οὗπερ μέλλεις τὸ κακὸν τοῦτο πωλεῖν;“ ὁ δὲ „τριωβόλου.“ μειδιάσας οὖν ὁ ἔμπορος ἔδωκε τὸ τριώβολον, ἤγουν φόλεις λϛ', λογισάμενος ὅτι οὐδὲν τοῦ μηδενὸς ἠγόρακεν.

8. *γερανομαχίας* Schneiderus. ‖ 9. *εἰρήκει* C. ‖ 10. *μόνον*] *μῶν* Schneiderus. ‖ 12. *μεταδραμὼν* Schneiderus, *μεταδιώξας* V. ‖ 17. *ὠνήσασθαι* C. ‖ 18. *κακοῦ*] *κακὸν* C, *κακὸν οὗ* Schneiderus: *εἶ πάνυ· κακοῦ οὐ χρῄζω* M. ‖ 19. *πίστευσόν μοι* om. M. ‖ *πολύ* M. ‖ 20. *καὶ ὁ Αἴσωπος*] *αἴσωπος ἔφη* M. ‖ *ἐν τῷ οἴκῳ σου ἢ* om. M. ‖ 21. *παιδία* M. ‖ 22. *οὖν* om. M. ‖ *ἐπ' αὐτῶν* om. M. ‖ 23. *φοι. ερ· ςρον* C (*φόβητρον* Schneiderus), *φοβερίστερον* M. ‖ 24. *αὐτοῦ γελάσας* om. M. ‖ 25. *ποσούτω ᾧπερ* C (*πόσου τὸ τάλαντον*, *indica quantum pretii*, mire Schneiderus): *πόσου τὸ κακὸν τοῦτο πωλεῖς* M. ‖ 26. *ζηνᾶς λέγει, δὸς τριόβολον* (*τριοβόλου* et C). *ὁ δὲ ἔμπορος γελάσας ἔδωκε* (*δέδωκε* C) M. ‖ 27. *τριόβολον* CM. ‖ *ἤγουν — λϛ'* add. C. ‖ 28. *ἠγοράκει* C.

(3) Ὁδεύσαντες οὖν εἰς τὴν πόλιν ἦλθον εἰς τὸ σωματεμπορεῖον. δύο δὲ παιδάρια ὑπὸ μητρὶ ὄντα ὡς εἶδον τὸν Αἴσωπον, φοβηθέντα ἀνέκραξαν καὶ κατεκρύβησαν. ὁ δὲ Αἴσωπος τῷ ἐμπόρῳ ἔφη „ἔχεις μου ἤδη τῆς ἀπολογίας καὶ ἐπαγγελίας ἀπόδειξιν, ὅτι κατὰ παιδίων νηπίων κλαιόντων ἕτοιμον ὠνήσω μορμολύκιον.“ ὁ δὲ γελάσας ἔφη „Αἴσωπε, εἴσελθε εἰς τὸν ἐνδότερον τρίκλινον καὶ ἄσπασαι τοὺς συνδούλους σου.“ εἰσελθὼν οὖν εὑρίσκει παῖδας καλλίστους καὶ ἀμώμους καὶ ἀσπάζεται αὐτούς, λέγων „χαίρετε, καλοὶ σύνδουλοι.“ οἱ δὲ ὁμοφώνως εἶπον „νὴ τὸν ἥλιον, σαπρὸν θέαμα βλέπομεν. τί γέγονε τῷ δεσπότῃ ἡμῶν; οὐδέποτε κακώτερον ἠγόρασε σωμάτιον, πλὴν προσβασκάνιον τοῦ σωματεμπορείου αὐτὸν ὠνήσατο.“ ὁ δὲ ἔμπορος πρὸς τοὺς παῖδας εἰσελθὼν ἔφη „στενάξατε τὴν ἑαυτῶν τύχην· κτήνη γὰρ οὔτε ἀγοράσαι οὔτε μισθώσασθαι εὗρον. διέλεσθε οὖν τὰ ἐφόδια σκεύη· αὔριον γὰρ ἀπαίρομεν εἰς τὴν Ἀσίαν.“ οἱ οὖν παῖδες σύνδυο γενόμενοι διεμερίζοντο τὰ σκεύη, ὁ δὲ Αἴσωπος ὑποπεσὼν αὐτοὺς ἐξελιπάρει καὶ ἔλεγε „καλοί μου σύνδουλοι, ἐπειδὴ νεώνητος καὶ ἀδρανής εἰμι, παραχωρήσατέ μοι τὸ ἐλαφρότερον φορτίον ἆραι.“ οἱ δέ φασιν „ἐὰν οὐ δύνῃ, μηδὲν ἄρῃς.“ Αἴσωπος λέγει „ἀπόπληκτόν ἐστι, πάντων ὑμῶν κοπιώντων ἐμὲ μόνον τῷ δεσπότῃ ἄχρηστον καὶ ἀνωφελῆ τυγχάνειν.“ οἱ δέ φασιν „ὃ θέλεις ἆρον.“ ὁ δὲ περιβλεψάμενος ὧδε κἀκεῖσε θεωρεῖ σκεύη διάφορα καὶ ἀγγεῖα τὰ πρὸς ἐκδημίαν τε καὶ χρείαν, σάκκους, στρώματα καὶ γυργάθους. ἰδὼν δὲ ἕνα γύργαθον μεστὸν ἄρτων, ὃν ἐβούλοντο δύο ἆραι, εἶπεν „ἐμοὶ τοῦτον φορτώσατε.“ οἱ δὲ

1. οὖν] δὲ M. ‖ εἰσῆλθον M. ‖ 2. δύο μέντοι παιδία M. ‖ μητέρα C. ‖ 3. φοβηθέντα om. M. ‖ 4. ἀπολογίας καὶ om. M. ‖ 5. νηπίων κλαιόντων] ἀνήβων M. ‖ 6. μόρμηκα M. ‖ λέγει M. ‖ 7. εἴσηλθε M. ‖ τὸ C. ‖ τρίκλεινον M. ‖ 8. οὖν τοὺς παῖδας πρῶτον εὑρίσκει M. ‖ 9. ἀσπάζει M. ‖ καλοὶ om. M. ‖ 10. ὁμοφώνως Schneiderus, ὠμόφωνος C, ὁμοφάνως M. ‖ νὴ — βλέπομεν] σαπρὸν νὴ τὸν ἥλιον M. ‖ 11. δεσπότῃ ὅτι τὸ οὐδέπω....πινὲς ἠγόρασε M. ‖ 12. πρὸς βασκανίαν C, πρὸ βασκανίου M. ‖ 13. πρὸ M. ‖ τὰ] καὶ τὰ M. ‖ 18. αὐτοὺς — ἔλεγε] εἶπε M. ‖ μου om. M. ‖ 19. ἐπεὶ M. ‖ ἀσθενής M. ‖ 20. ἆραι om. M. ‖ 21. ἐστι om. M. ‖ 22. ὑμῶν om. M. ‖ κωπιώντων M. ‖ μόνον ἀχάριστον τῷ δεσπότῃ φαίνεσθαι M. ‖ 24. καὶ ἀγγεῖα διάφορα M. ‖ 25. ἐκδημίας, om. τε καὶ χρείαν, M. ‖ 26. γοργάθους hic et infra M. ‖ 27. οἱ δὲ λοιποὶ ἔλεγον M.

γελάσαντες εἶπον „τί μωρότερον τοῦ χυδαίου τούτου καθάρματος τυγχάνει; ἄρτι γὰρ παρεκάλει τὸ πάντων ἐλαφρότατον φορτίον ἆραι, καὶ νῦν τὸ βαρύτερον ἁπάντων ἐξελέξατο. τὴν ἐπιθυμίαν αὐτοῦ πληρώσωμεν.“ καὶ ἐπιλαβόμενοι τιθέασιν ἐπ' αὐτὸν τὸν γύργαθον, καὶ εὐθέως ἐκίνησεν ὧδε κἀκεῖσε διακλονούμενος. ἰδὼν οὖν αὐτὸν ὁ ἔμπορος ἐθαύμασε καί φησιν „ὁ Αἴσωπος πρόθυμος ὢν εἰς τὸ κοπιᾶν καὶ τοὺς λοιποὺς προτρεπόμενος γενναίως φέρει. ἤδη οὖν αὐτοῦ τὴν τιμὴν ἔσωσε· κτήνους γὰρ φορτίον ἦρεν.“ οἱ δὲ λοιποὶ σύνδουλοι σύνδυο βαστάζοντες κατεγέλων αὐτοῦ. ἐκεῖνος δὲ εἰς τὴν ὁδὸν προϊών, θεὶς τὸν γύργαθον περιπατεῖν ἐδίδασκεν· εἰ γὰρ καὶ πολλάκις εἰς ἀνάβασιν ἐληλύθει, ταῖς χερσὶ καὶ τοῖς ὀδοῦσιν ἕλκων ἀνεκύλιε τὸν γύργαθον, ἐὰν δὲ εἰς κατάβασιν, συντομώτερον κατῄει κυλίων αὐτόν. καὶ οὕτως ἐκοπία, ἕως οὗ εἰς πανδοχεῖον ἦλθον. ὁ δὲ ἔμπορος θέλων ἐπαναπαύσασθαι τὰ σωμάτια ἐκέλευσεν αὐτὰ ἀναπεσεῖν. εἶτα τῷ Αἰσώπῳ φησίν „ἀρτοδότησον.“ ὁ δὲ ἑκάστῳ ζεύγει ἄρτον παρέθηκε. πολλῶν δὲ ἀρτοδοτηθέντων ἡμίκενος ὁ γύργαθος γέγονε. μετὰ δὲ τὸ ἀναλαβέσθαι τὰ σωμάτια πάλιν ὁδοιπορούντων ὁ Αἴσωπος προθυμότερος εἰς τὴν μονὴν παρεγένετο. ἀρτοδοτήσας δὲ καὶ τῇ ἑσπέρᾳ ὅλον τὸν ὄγκον τοῦ γυργάθου ἐκένωσε. τῇ δὲ ἐπαύριον κενὸν αὐτὸν ἐπὶ τοῦ ὤμου ἀναλαβὼν ἔμπροσθε πάντων ἔτρεχεν. οἱ δὲ σύνδουλοι αὐτοῦ πρὸς ἀλλήλους ἔλεγον „τίς ἐστιν ὁ ἔμπροσθεν τρέχων; ξένος τίς ἐστιν ἢ ἐξ ἡμῶν τυγχάνει;“ καὶ οἱ μὲν ἔλεγον ὅτι ξένος τίς ἐστιν, ἕτεροι δὲ ἔλεγον ὅτι ὁ σαπρὸς ἐκεῖνός ἐστιν,

1. *μορώτερον* CM. ‖ *τοῦ — τυγχάνει*] *τοῦ ἀνδρὸς τούτου* M. ‖ *χυδαίου* v, *λυδαίου* C. ‖ 2. *ἄρτι γὰρ* om. M. ‖ *ἐλαφρότερον* M. ‖ 3. *νῦν* om. M. ‖ *βαρύτατον* Schneiderus. ‖ *πάντων* M. ‖ 4. *ποιήσωμεν* M. ‖ *καὶ — αὐτὸν*] *ἐπιτιθέασιν οὖν αὐτῷ* M. ‖ 5. *καὶ ἐκίνησε διακλώμενος. ὁ δὲ ἔμπορος ἰδὼν αὐτὸν* M. ‖ 7. *ὁ* et *ὢν* om. M. ‖ 8. *φέρειν* M. ‖ *οὖν* om. M. ‖ 10. *λ. σὺν τούτῳ β.* M. ‖ 11. *ὁδὸν ἐλθὼν τὸν γόργαθον θείς* M. ‖ 12. *καὶ πολλάκις* om. M. ‖ 13. *ἀνεκύλει* M. ‖ *ἐὰν — αὐτόν* om. M. ‖ 15. *οὗ* om. M. ‖ *ἔμπορος τὰ σωμάτια ἀναλαβέσθαι ἐκελ.* M. ‖ 17. *καὶ φησι τῷ αἰσώπῳ* M. ‖ *ζεύγει ἄρτον*] *τῶν ἄρτων* M. ‖ 20. *ὁδοιποροῦσιν* M. ‖ 21. *παρεγένησεν* M. ‖ *ἑσπέρᾳ τὸν γόργαθον κατεκένωσε* M. ‖ 22. *τῶν ὤμων περιβαλλόμενος ἔμπροσθεν προέτρεχεν* M. ‖ 24. *αὐτοῦ πρὸς*] *εἰς* M. ‖ 25. *ξένος — τυγχάνει*] *ξένος ἡμῶν ἐστιν* M. ‖ *καὶ — ὁ*] *αἴσωπος ἔφη ὁ* M.

ἄλλος ἔφη „οὐκ οἴδατε τὸ ἀνθρωπάριον τοῦτο τὸ μεμελανωμένον; πῶς φρονίμως ἔδρασεν ὑπὲρ πάντας ἡμᾶς· ἡμεῖς γὰρ στρώματα καὶ τὰ λοιπὰ σκεύη τὰ μὴ δυνάμενα δαπανηθῆναι ἄραντες κοπιῶμεν, ἐκεῖνος δὲ τοὺς προχείρως δαπανωμένους ἄρτους ὡς πανοῦργος ἦρεν."

(4) Μετὰ ταῦτα ὁδοιπορήσαντες ἦλθον εἰς Ἔφεσον, καὶ πιπράσας ἐκεῖ τὰ ἀνδράποδα ἐκέρδησε. κατελείφθη δὲ αὐτῷ τρία, γραμματικός, ψάλτης καὶ ὁ Αἴσωπος. καί τις τῶν συνήθων αὐτοῦ φίλων λέγει τῷ ἐμπόρῳ „ἐὰν θέλῃς, ἀδελφέ, πραθῆναι τὰ σωμάτια, ἄπελθε εἰς τὴν Σάμον. Ξάνθος γὰρ ὁ φιλόσοφος ἐκεῖ οἰκεῖ· πολλοὶ γὰρ τῶν νήσων καὶ τῆς Ἑλλάδος φοιτῶσι πρὸς αὐτὸν ἐν εὐπορίᾳ ὄντες, καὶ τύχῃς τοῦ ζητήματος." πεισθεὶς οὖν ὁ ἔμπορος τῇ τοῦ φίλου γνώμῃ παρεγένετο εἰς τὴν Σάμον. καὶ τὸν μὲν ψάλτην εὔκνημον ὄντα λευκοὺς ὑπενέδυσε χιτῶνας καὶ ὑποδήματα καὶ τὴν τρίχα κτενίσας ἔστησεν ἐπὶ τοῦ πρατείου, τὸν δὲ γραμματικὸν λεπτὸν ὄντα βαθεῖς ἐνέδυσε χιτῶνας καὶ ὑποδήματα, κτενίσας δὲ τὴν τρίχα καὶ σουδάριον δοὺς ἔστησεν ἐπὶ τοῦ πρατείου. τοῦ δὲ Αἰσώπου μὴ ἔχων τι ἀποκρύψαι ἤ τι κοσμῆσαι, ἐπείπερ ὅλος ἦν ἁμάρτημα, ἐνέδυσεν αὐτὸν χιτώνισκον ἐκ σάκκου καὶ τῶν καλῶν ἔστησεν εἰς μέσον. πολλοὶ δὲ κατανοοῦντες τὰ σωμάτια, ὁρῶντες τὸν Αἴσωπον πρὸς ἀλλήλους ἔλεγον „πόθεν τὸ κακὸν κάθαρμα τοῦτο; οὗτος γὰρ καὶ τοὺς ἄλλους ἀφανίζει." ὁ δὲ Αἴσωπος θεωρῶν, ὅτι ὑπὸ πολλῶν σκώπτεται, ἵστατο τολμηρῶς θεωρῶν πάντας. ὁ δὲ Ξάνθος εἰς τὴν σχολὴν προελθὼν καὶ τὴν

1. ἔφη] λέγει M. ‖ τὸ μεμελανωμένον om. M. ‖ 2. πῶς] τὸ πῶς C. ‖ πάντων ἡμῶν, sed ας et ᾶ supra additis, C. ‖ 4. προχείρους M. ‖ 6. ὁδοιπορήσαντες οὖν ἦλθ. M. ‖ ἐς M. ‖ 7. ἀνδράποδα] σωμάτια M. ‖ κατελείφθη Schneiderus, κατελήφθη C, κατελείφθησαν M. ‖ 8. καὶ — φίλων] τὶς δὲ φίλος M. ‖ 9. θέλῃς τὰ σωμάτια πιπράσαι, πέρασον εἰς M. ‖ 11. ἐκεῖσε C. ‖ πολλοὶ γὰρ] καὶ πολλοὶ M. ‖ 12. τῆς ἑλλάδος καὶ τῶν νήσων πρὸς αὐτὸν φοιτῶσιν M. ‖ καὶ — ζητήματος om. M. ‖ 15. ἄκνημον C. ‖ λευκοὺς] an λεπτοὺς? ‖ ὑπέδησε M. ‖ 17. γρ. δεύτερον ὄντα πρόβλεπτον β. M. ‖ 18. σουδαρίῳ C. ‖ 19. τὸν δὲ αἴσωπον M. ‖ 20. ὅλως M. ‖ ἁμάρτημα] γρ. κάθαρμα mg. C. ‖ αὐτὸν σακκοχίτωμα καὶ M. ‖ 21. καλλῶν M. ‖ 22. σώματα C. ‖ 23. τὸ κακὸν κάθαρμα om. M. ‖ 24. γὰρ om. M. ‖ αἴσωπος ὑπὸ πολλῶν σκωπτόμενος τολμηρίᾳ εἱστήκει. ὁ M. ‖ 26. τὴν μελέτην, uti voluit Schneiderus, M, τῶν μελετῶν C.

μελέτην στερεύσας ἧκε σὺν τοῖς φίλοις εἰς τὴν ἀγοράν, καὶ διελθὼν ὡς εἶδε τοὺς δύο παῖδας ἐν εὐπρεπείᾳ παρισταμένους, μέσον δὲ τὸν Αἴσωπον, ἐθαύμασε τὴν τοῦ ἐμπόρου ἐπίνοιαν, καί φησι πρὸς τοὺς φίλους „βαβαὶ τῆς πανουργίας.“ εἶτα ἐπιστὰς ἑνὶ ἐξ αὐτῶν ἐπυνθάνετο, πόθεν ἄρα τυγχάνει. ὁ δέ φησι „Καππάδοξ εἰμὶ τῷ γένει.“ καὶ ὁ Ξάνθος „τί οὖν οἶδας ποιεῖν;“ ὁ δὲ λέγει „πάντα.“ ὁ δὲ Αἴσωπος ἀκούσας ἐμειδίασεν· οἱ δὲ σχολαστικοὶ ὡς εἶδον αὐτὸν γελάσαντα καὶ τοὺς ὀδόντας αὐτοῦ ἐξαίφνης φανέντας, ἐδόκουν τέρας θεωρεῖν. εἶτα λέγουσι πρὸς ἀλλήλους „οὐχὶ κήλη ἐστὶν ὀδόντας ἔχουσα;“ καί τις ἐξ αὐτῶν ἔφη „τί ἄρα ἰδὼν ἐγέλασεν;“ ἕτερος λέγει „οὐ γελᾷ, ἀλλὰ ῥιγᾷ, γνώσωμεν δὲ τί λαλεῖ.“ καὶ προσελθὼν εἷς ἐξ αὐτῶν λέγει τῷ Αἰσώπῳ „κομψότατε, εἰς τί ἐγέλασας;“ ὁ δέ φησιν „ὑποχώρει, θαλάσσιον πρόβατον.“ διαπορήσας οὖν ὁ σχολαστικὸς ἐπὶ τοῦτο ἀνεχώρησεν. ὁ δὲ Ξάνθος λέγει τῷ ἐμπόρῳ „πόσου τιμήματος ὁ ψάλτης;“ ὁ δέ φησι „χιλίων δηναρίων.“ ὁ δὲ ἀκούσας „ὅλως ἐν ὑπερβολῇ.“ ἦλθε πρὸς τὸν ἕτερον καί φησι „σὺ δὲ πόθεν εἶ;“ ὁ δὲ λέγει „Λυδός.“ καὶ ὁ Ξάνθος „τί οὖν οἶδας ποιεῖν;“ καὶ ὁ παῖς „ἅπαντα.“ ὁ δὲ Αἴσωπος πάλιν ἐγέλασεν. ἰδόντες δὲ οἱ σχολαστικοὶ

1. στερεώσας CM. ‖ τῆς ἀγορᾶς, addito θεάσασθαι, M. ‖ καὶ — εἶδε] ὡς δὲ εἶδε M. ‖ 2. παῖδας εὐπρεπεῖς, τὸν δὲ μέσον σαπρόν, ἐθ. τοῦ ἐμπ. τ. ἐπ. M. ‖ 4. βαβαὶ τῆς πανουργίας] ὁ ἔμπορος οὐχ..ρ .... πράσει, τοὺς μὲν εὐειδεῖς παῖδας ἔξωθεν ἔστησε καὶ μέσον τὸν σαπρόν· ἀλλ᾽ ἵνα τὸ ἀειδὲς τῷ κάλλει παρατεθὲν τὴν τούτων ἀρετὴν ἐμφανεστέραν δείξῃ M. ‖ 5. εἶτα — ἐμειδίασεν] ἐπιστὰς οὖν τῷ πρώτῳ παιδὶ εἶπε· πόθεν εἶ καὶ τί σου τὸ ὄνομα. ἐκεῖνος ἔφη· καππάδοξ εἰμί. τύρος καλοῦμαι. — ἐκεῖνος ἔφη· πάντα. ὁ δὲ αἴσωπος ἐγέλασεν M. ‖ 9. αὐτὸν ἐξαίφνης γελάσαντα, μόνον δὲ τοὺς ὀδόντας αὐτοῦ φαύλους (?) ὄντας, τέρας ἐδόκουν θεωρεῖν. ἔλεγον δὲ πρ. ἀλλ. οὐ κήλη ᾽στιν ὀδ. ἔχ. ἄλλος ἔφη, τί ἰδ. M. ‖ 10. εἶτα Schneiderus, εἶ δὲ C. ‖ 11. κήλη supra οι addito C. ‖ 13. ἐλθὼν οὖν διόπισθεν εἵλκυσεν αὐτὸν καί φησι· κ. τί ἐγ. ὁ δὲ ἐπιστραφεὶς ἔφη ὑ. θ. π. ὁ δὲ σχ. διαπορρηθεὶς ἐπὶ τὸ ῥηθὲν ὑπεχώρησεν M. ‖ 16. τούτῳ Schneiderus. ‖ ὁ ξ. τῷ ἐμπόρῳ ἔφη· πόσου ὁ ψ. οὗτος. ὁ δὲ λέγει· χ. M. ‖ 18. ὅλως om. M, sed post ὑπερβολῇ add. τὸ τίμημα. ‖ πρὸς τ. ἕτερον ἦλθε κ. φησι· σὺ πόθεν εἶ. — λῦδος. ὄνομα δὲ σοῦ τί; ὁ δὲ φιλόκαλλος. ξάνθος λέγει· τί οἶδας π. ὁ παῖς λέγει πάντα M. ‖ 21. ἀνεγέλασεν. οἱ δὲ σχ. ἰδόντες ἔλεγον· τί ἄρα πάνυ προσγελᾷ. ἕτερος εἶπεν· ἐὰν θέλω πάλιν θαλάσσιος τράγος (θαλάσσιον τράγος C, θαλάσσιον τράγον Schneiderus) ἀκ. ἐπερωτήσω αὐτόν.

εἶπον „τί ἄρα οὗτος πρὸς πάντα γελᾷ;“ ἕτερος δὲ λέγει πρὸς αὐτόν „ἐὰν θέλῃς θαλάσσιος τράγος ἀκοῦσαι, ἐπερώτησον αὐτόν.“ ὁ δὲ Ξάνθος λέγει τῷ ἐμπόρῳ „πόσου τιμήματος τὸν γραμματικὸν πωλεῖς;“ ὁ δὲ „τρισχιλίων.“ ἀκούσας δὲ ὁ Ξάνθος ἠκηδίασε καὶ στραφεὶς ἐπορεύετο. οἱ δὲ σχολαστικοὶ εἶπον πρὸς αὐτόν „καθηγητά, οὐκ ἤρεσάν σοι τὰ σωμάτια;“ ὁ δὲ „ναί“ φησί, „ἀλλὰ δόγμα ἐστὶ πολύτιμον ἀνδράποδον μὴ ὠνεῖσθαι.“ εἷς δὲ τῶν σχολαστικῶν λέγει „εἰ παράγγελμά ἐστι πολύτιμον σωμάτιον μὴ ὠνεῖσθαι, ἀγόρασον τοῦτον τὸν ἀειδῆ· καὶ γὰρ τὴν αὐτὴν διακονίαν παρέξει καὶ αὐτός, ἡμεῖς δὲ κατὰ κοινοῦ δώσομεν τὸ τίμημα.“ ὁ δέ φησι „γελοῖον ὑμῶν ἐστι καταγελώντων τὸ δοῦναι ὑμᾶς τὴν τιμὴν καὶ δοῦλον ἐξωνήσασθαί μοι. ἀλλά γε καὶ τὸ γύναιόν μου κενόδοξον ὂν οὐκ ἀνέξεται δουλεύεσθαι ὑπὸ τοιούτου αἰσχροῦ σωματίου.“ εἶπον οὖν πρὸς αὐτὸν οἱ σχολαστικοί „καθηγητά, αἱ πλείους σου διδαχαί εἰσι, τὸ μηδόλως πείθεσθαι γυναικί.“ Ξάνθος ἔφη „ἐπιγνῶμεν πρῶτον, εἰ οἶδέ τι, ἵνα μὴ καὶ τὸ τίμημα κενῇ χάριτι συναπολῆται.“ προσελθὼν οὖν τῷ Αἰσώπῳ ἔφη „χαῖρε.“ ὁ δέ φησι „μὴ γὰρ ἐλυπούμην;“ Ξάνθος λέγει „ἀσπάζομαί σε.“ ὁ δὲ „κἀγὼ σέ.“ ὁ δὲ Ξάνθος ἅμα τοῖς λοιποῖς καταπλαγεὶς ἐπὶ τὸ τῆς ἀπολογίας ἕτοιμον πάλιν πρὸς αὐτὸν ἔφη „ποταπὸς εἶ;“ ὁ δὲ „σάρκινος.“ Ξάνθος λέγει „οὐ τοῦτο λέγω, ἀλλὰ ποῦ ἐγεννήθης;“ ὁ δὲ „ἐν τῇ κοιλίᾳ τῆς μητρός μου.“ ὁ Ξάνθος λέγει „οὐ τοῦτο εἶπον, ἀλλὰ ποίῳ τόπῳ ἐγεννήθης;“

ὁ ξ. τ. ἑ. ἔφη M. ‖ 3. τιμήματος om. M. ‖ 4. τρ. δηναρίων, ἐκεῖνος ἔφη M. ‖ ὁ ξ. ἀκούσας M. ‖ 5. ἠκιδίασε C. ‖ 6. πρὸς αὐτόν om. M. ‖ 7. ναί, φησίν — πολύτιμα μὴ ἀγοράζειν παιδάρια· δι᾽ εὐτελῶν δὲ σωματίων δουλεύεσθαι M. ‖ 9. λέγει] φησι M. ‖ πολυτελῆ μὴ M. ‖ 10. τὴν γὰρ αὐτὴν παρέχεται δ., ἡμ. δὲ κατὰ κοινοῦ (κἀκείνου C) ἐκδώσομεν M. ‖ 12. ὑμῶν et καταγελώντων τὸ et mox ἐξωνήσασθαι Schneiderus, ἡμῶν — καταγελόντων τοῦ — ἐξωνῆσαι C: γελοῖόν ἐστιν ὑμῶν τὴν τιμὴν διδόντων ἐμὲ δοῦλον ἀγοράσαι ἀχρεῖον M. ‖ 13. ἀλλά γε (ἀλλ᾽ ἄγε Schneiderus) — αἰσχροῦ] καὶ καθαρὸν ὂν τὸ γύναιον οὐκ ἀνέξεται ὑπὸ αἰσχροῦ δουλεύεσθαι M. ‖ 15. οἱ δὲ σχ. εἶπον M. ‖ 16. πλεῖαι C, πλεῖσται Schneiderus. ‖ σοι M. ‖ εἰσι γυναικὶ μὴ πείθεσθαι. ὁ ξ. M. ‖ 17. ἔστι γνώμη μέν, εἰ οἶδε τί ποτε M. ‖ 18. τὸ] αὐτὸ C, αὐτὸ τὸ Schneiderus. ‖ προσαποπολῆται M. ‖ 19. τί γὰρ λυποῦμαι M. ‖ 20. ἔφη M. ‖ 21. ὁ ξ. M. ‖ 22. ποδαπὸς Schneiderus. ‖ 23. ἔφη ὁ ξ. M. ‖ 24. ὁ δὲ om. M. ‖ μου] ἔφη M. ‖ ὁ — εἶπον] οὐ τοῦτο ἐρωτῶ M.

Αἴσωπος ἔφη „οὐκ εἶπέ μοι ἡ μήτηρ μου, ἐν ποίῳ κοιτῶνί με ἐγέννησε, κἄν τε ἐν ἀνωγέῳ κἄν τε ἐν κατωγέῳ, ἢ ἐν τρικλίνῳ.“ Ξάνθος λέγει „τί οἶδας ποιεῖν;“ ὁ δὲ „παντελῶς οὐδέν.“ ὁ δὲ Ξάνθος „διὰ τί;“ φησίν. Αἴσωπος λέγει „ὅτι οὗτοι πάντα σοι εἰδέναι ἐπηγγείλαντο· ἐγὼ δὲ τί φήσω μὴ εἰδώς;“ οἱ δὲ σχολαστικοὶ θαυμάσαντες εἶπον „μὰ τὴν θείαν πρόνοιαν, καλῶς ἀπελογήθη· οὐκ ἔστι γὰρ ἄνθρωπος ὁ πάντα εἰδώς· διὰ τοῦτο ἐγέλασεν.“ ὁ δὲ Ξάνθος λέγει πρὸς αὐτόν „θέλεις ἀγοράσω σε;“ ὁ δέ φησιν „ἐμοῦ εἰς τοῦτο συμβουλίας δεῖ σοί; θέλεις ἀγόρασον, θέλεις πορεύου, οὐδείς σου βίαν ποιεῖ· τοῦτο γὰρ τῆς σῆς ἐξουσίας τυγχάνει. καὶ εἰ μὲν βούλει, λύσας θύρας βαλαντίου ἀργύριον ἀρίθμει, εἰ δὲ οὐ βούλει, μή με σκῶπτε.“ Ξάνθος εἶπε „τί οὕτω πολύλαλος εἶ;“ Αἴσωπος εἶπεν „ἐπί τινων λαλεῖν πολύτιμον εὑρίσκεται. τί με ἐξουθενεῖς;“ καὶ οἱ σχολαστικοί „μὰ τοὺς θεούς, νενίκηκε τὸν καθηγητήν.“ Ξάνθος εἶπεν „ἐὰν δέ σε ἀγοράσω, μὴ δραπετεύσεις;“ ὁ δὲ Αἴσωπος γελάσας ἔφη „τοῦτο εἰ θελήσω πρᾶξαι, οὐ λήψομαι σὲ σύμβουλον, ὡς σὺ ἐμέ. τὸ δραπετεύειν ἐν σοί ἐστιν, οὐκ ἐν ἐμοί. ἐὰν γὰρ ᾖς καλόδουλος, οὐδεὶς ὃς καλὸν φεύγει, ἐὰν δὲ ᾖς κακόδουλος καὶ φθορὰν ἐργάζῃ τῶν ἀναγκαίων μὴ φροντίζων, ὥραν μίαν οὐ μενῶ πρὸς σέ.“ ὁ Ξάνθος ἔφη „καλῶς λέγεις, ἀλλὰ πάνυ σαπρὸς εἶ.“ Αἴσωπος ἔφη „εἰς τὸν νοῦν δεῖ ἀποβλέπειν καὶ οὐχὶ εἰς τὴν θέαν.“ προσελθὼν οὖν Ξάνθος τῷ σωματεμπόρῳ λέγει „πόσου τοῦτον πωλεῖς;“ ὁ δὲ ἔφη

1. εἶπε] ἀνήγγειλε M. ‖ ἐν — τρικλίνῳ] πότερον ἐν κοιτῶνι ἢ ἐν τρικλίνῳ M. ‖ 3. ὁ ξ. ἔφη M. ‖ ὁ δὲ] ἔφη M. ‖ 4. ὁ δὲ Ξάνθος om. M. ‖ Αἴσωπος] ὁ δὲ M. ‖ 5. εἰδέναι σοι M. ‖ ἐγὼ — εἰδώς om. M, sed in mg. .... λάμενοι ἔλειψαν οὐδέν. ‖ φήσω μὴ Schneiderus, φήσομαι C. ‖ 7. οὐ γάρ ἐστιν suprascr. habet M. ‖ 8. ὁ om. M. ‖ διὰ τοῦτο γοῦν (γοῦν τοῦτο suprascr.) καὶ κατεγέλασε (κατεγέλα suprascr.) M. ‖ ὁ — αὐτόν] ξ. εἶπε M. ‖ 10. δεῖσαι C, δεῖσθαι M: possit et δεήσῃ. ‖ 11. τοῦτο — τυγχάνει] τῆς σῆς ἔστον ἐξουσίας M. ‖ 12. λύσαι M. ‖ 13. σκώπτῃ M. ‖ ὁ ξ. M. ‖ 14. ἐπί] εἶπε C, ἀπό M, ἐπεὶ ἐπί Schneiderus. ‖ λαλῶν M: τὸ λαλεῖν Schneiderus. ‖ 15. καὶ om. M. ‖ καλῶς νὴ τ. θ. ἔστησε τ. κ. ἔφησαν. ὁ ξ. M. ‖ 16. δέ om. M. ‖ 17. δραπετεύσῃς M. ‖ ὁ δὲ om. M. ‖ εἶπε M. ‖ 18. εἰ] οὐ M. ‖ σὺ] οὐδὲ σὺ Schneiderus. ‖ 20. καλόδουλος — ᾖς om. M. ‖ ὃς Schneiderus, ὁ C: possit et σε, aut ὁ — φεύγων. ‖ κακὸς δοῦλος M. ‖ 22. λαλεῖς M. ‖ 23. πάνυ om. M. ‖ εἰς — θέαν leguntur in Aesopi dictis apud Stob. et Arsen. p. 93. ‖ δεῖ] δὲ M. ‖ 24. οὐκ M. ‖ ὁ ξ. M.

„σκῶψαί μου πάρει τὴν ἐμπορείαν.“ καὶ ὁ Ξάνθος „διὰ τί;“ φησίν. „ὅτι ἀφεὶς τοὺς ἀξίους σου παῖδας τὸν σαπρὸν τοῦτον ἡρετίσω. ἕνα ἐκείνων ὤνησαι καὶ τοῦτον λάβε πρόσδομα.“ Ξάνθος λέγει „οὐχί, ἀλλ᾽ εἰπὲ μόνον τὴν τούτου τιμήν.“ ὁ δὲ πρὸς αὐτόν „δὸς ἑξήκοντα δηνάρια καὶ λάβε αὐτόν.“ καὶ οἱ μὲν σχολαστικοὶ δεδώκασι, ὁ δὲ Ξάνθος ἠγόρασεν. μαθόντες δὲ οἱ τελῶναι τὴν πρᾶσιν παρεγένοντο ἐρωτῶντες, τίς ἄρα πέπρακεν καὶ τίς ἠγόρασεν. ἐνετρέποντο οὖν ἀμφότεροι εἰπεῖν διὰ τὸ ἐλάχιστον τίμημα. ὁ δὲ Αἴσωπος ἀνέκραγεν „ὁ πραθεὶς ἐγώ, ὁ πωλήσας οὗτος καὶ οὗτος ὁ ἀγοράσας. εἰ δὲ οὗτοι σιωπῶσιν, ἐγὼ ἐλεύθερός εἰμι.“ οἱ δὲ τελῶναι γελάσαντες ἐχαρίσαντο τῷ Ξάνθῳ τὸ τέλος, ἀλλήλοις δὲ συνταξάμενοι ἐχωρίσθησαν.

(5) Ὁ δὲ Αἴσωπος ἠκολούθει τῷ Ξάνθῳ. καύματος δὲ μεσημβρινοῦ παρόντος καὶ τῆς ὁδοῦ ἐκκαείσης ὁ Ξάνθος διὰ πλατείων περιπατῶν τὰ ἱμάτια ἀνασυράμενος οὔρει. ὁ δὲ Αἴσωπος θεασάμενος καὶ ἐκ τῶν ὄπισθεν τῶν ἱματίων δραξάμενος εἵλκυσεν αὐτὸν καί φησι „πώλησόν με ταχύ, ἐπεὶ δραπετεύω.“ καὶ ὁ Ξάνθος „διὰ τί;“ φησί. ὁ δέ „ὅτι οὐ δύναμαι τοιούτῳ δεσπότῃ δουλεύειν.“ ὁ Ξάνθος „διὰ τί;“ ὁ δὲ λέγει „ὅτι σὺ δεσπότης μὲν καὶ μηδένα φοβούμενος, εἰ καὶ τύχοι βραδῦναί σε, ἐξουσιαστὴς ὢν οὐκ ἔδωκας τῇ φύσει ἄνεσιν, ἀλλ᾽ ἐμπεριπατῶν οὐρεῖς, εἰ τύχοι ἐμὲ τὸν δοῦλον ἐπὶ διακονίᾳ ταχῦναι σταλέντα, ἀνάγκη πετόμενον χέζειν.“ ὁ δὲ Ξάνθος „τούτου ἕνεκεν ἐταράχθης; ἄκουσον. τρία

1. παρῇ M. ‖ καὶ om. M. ‖ 2. ἀφιεὶς M. ‖ σοι C. ‖ 3. τοῦτον om. M. ‖ πρόσδωμα C. ‖ 4. ὁ ξ. εἰπὲ τούτου τὴν τιμήν M. ‖ 6. οἱ δὲ σχ. δ. μὲν (τὰ τίμημα suprascr.), ὁ ξ. δ' ἠγόρασεν (δὲ ὠνήσατο suprascr.) M. ‖ 7. δὲ om., sed οὖν suprascr., M. ‖ τελῶναι] ἤτοι οἱ κουμερκιάριοι add. C. ‖ 8. ἄρα] μὲν M. ‖ καὶ τίς] ἢ τίς C, τίς δὲ M. ‖ διετρέποντο M. ‖ 10. ἀνεκράγει C, ἀνακέκραγεν M. ‖ 11. σκοπῶσι καὶ σιωπῶσιν M. ‖ 12. ἐχάρισαν C. ‖ 15. ὄντος M. ‖ 16. πλάγνων C, πλαγίων Schneiderus: διὰ πλ. om. M. ‖ 17. τὸ ἱμάτιον M. ‖ 18. ἕλκυσεν αὐτὸν C, εἵλκυσε M. ‖ 19. ὁ ξ. ἔφη, τί ἔχεις; M. ‖ ὅτι] φησίν M. ‖ 20. δεσπότῃ] ἀνδρί M. ‖ τί φησιν. αἴσωπος ἔφη, σὺ M. ‖ 21. σὺ] immo εἰ σύ. ‖ μὲν] ὢν C. ‖ 22. τύχῃ C. ‖ ἐξουσιαστὴς] δε.....στὴς M. ‖ ἄνεσιν τῇ φύσει M. ‖ 23. ἀλλὰ περιπατῶν M. ‖ εἰ — ταχῦναι] ἐμὲ γοῦν τὸν δοῦλον ἐπὶ διακονίαν τυχεῖν M. ‖ τύχῃ C. ‖ 24. διακονία C. ‖ 25. δὲ om. M. ‖ τούτου om. C: hoc omisso ὧν add. Schneiderus. ‖ ἄκουσον om. M.

βουλόμενος ἐκφυγεῖν κακὰ περιπατῶν οὔρησα.“ ὁ δὲ „ποῖα ταῦτα;“ καὶ ὁ Ξάνθος „ἑστῶτός μου τὴν κεφαλὴν ὁ ἥλιος κατέφλεξεν ἄν, τοὺς δὲ πόδας μου ἐν τῷ οὐρεῖν ἑστῶτος ἡ γῆ κατέκαυσεν, ἡ δὲ τοῦ οὔρου δριμύτης τὴν ὄσφρησίν μου ἔβλαψεν ἄν. ταῦτα οὖν ἐγὼ τὰ τρία φεύγων φαῦλα περιπατῶν οὔρησα.“ Αἴσωπος ἔφη „περιπάτει, πέπεικάς με.“ Ξάνθος λέγει „Αἴσωπε, ἐπεὶ καθάριόν μού ἐστι τὸ γύναιον, μὴ θέλον ὑπὸ αἰσχροῦ σωματίου δουλεύεσθαι, μεῖνον πρὸ τοῦ πυλῶνος, ἕως οὗ εἰσελθὼν πρὸς τὴν κυρίαν σου ἐγκώμιόν τι γελοίου ἀπαγγελῶ, ἵνα μή σου ἐξαίφνης τὴν σαπρίαν ἰδοῦσα, ἀπαιτήσασα τὴν προῖκα φύγῃ.“ Αἴσωπος εἶπεν „ἄπιθι καὶ ταχὺ ποίει.“ εἰσελθὼν οὖν ὁ Ξάνθος πρὸς τὴν γυναῖκα „κυρία“ φησίν „οὐκέτι με ὀνειδίσεις ἀπὸ τοῦ παρόντος, ὅτι ὑπὸ σῶν δουλεύομαι παιδαρισκίων. ἰδὲ κἀγὼ σοὶ ἕνα παῖδα ἐξωνησάμην, καὶ ὄψει κάλλος οἷον οὐδέποτε τεθέασαι.“ αἱ δὲ θεραπαινίδες ἀκούσασαι καὶ νομίσασαι ἀληθῆ εἶναι τὰ λεγόμενα ἤρξαντο πρὸς ἀλλήλας μάχεσθαι καὶ λέγειν „ἐμοὶ ὁ δεσπότης ἄνδρα ὠνήσατο.“ ἄλλη δέ φησι „τὰ κενά σοι εἰς τὴν ὄψιν· ἐμοὶ γὰρ εἰς ὕπνους τοῦτον συνέθετο.“ ἄλλη δὲ ἔφη „ἐγὼ ἐν ὀνείροις ἐνυμφευόμην.“ τούτων δὴ διαμαχομένων ἡ γυνὴ τῷ Ξάνθῳ ἔφη „περὶ οὗ τοσαῦτα κατεβάλλου ἐγκώμια, ποῦ ἐστιν;“ ὁ δὲ ἔφη „μέχρι τοῦ πυλῶνος ἠκολούθησε, μὴ κληθεὶς δὲ εἰσελθεῖν ἔξω ἔμεινεν.“ ἡ δέ φησι „τὸν νεώνητόν μοί τις καλεσάτω.“ μία οὖν γαυριῶσα τῶν ἄλλων μαχομένων „προδραμοῦμαι“ φησί „καὶ ἀρραβωνήσομαι αὐτόν.“ ἐξελθοῦσα δὲ πρὸ τοῦ πυλῶνος ἐβόα „ποῦ εἶ, ὁ νεώνητος, ὁ ἐμοὶ ἀγορασθείς;“ Αἴσωπος ἔφη „ἰδοὺ ἐγώ.“ ἰδοῦσα δὲ αὐτὸν ἡ κόρη ἔκθαμβος γενο-

1. *βούλομαι* C. ‖ 2. *καὶ* om. M. ‖ 3. *ἄν* om. M. ‖ *δὲ* om. M. ‖ *ἑστῶτας* C. ‖ 4. *τὰς ὀσφρήσεις* M. ‖ 5. *οὖν τὰ τὲ φεύγων* M. ‖ 6. *ὁ δὲ περιπάτει λέγει π.* M. ‖ 7. *ἔφη* M. ‖ *καθάρειον* C. ‖ *μοι τὸ γύναιόν ἐστι* M. ‖ 8. *μὴ μὴ* C. ‖ *θέλων* C. ‖ 9. *σου* om. M. ‖ 10. *ἀπαγγείλω* M. ‖ 12. *οὖν*] *δὲ* M. ‖ 13. *φησί κυρία* M. ‖ *ἀπὸ τοῦ παρόντος* om. M. ‖ 14. *ὑπὸ*] *ἀπὸ* C. ‖ *παιδαρισκαρίων* M. ‖ *σοι παῖδα ἠγόρασα* M. ‖ 15. *οὐδέπω* M. ‖ 17. *ἀλλήλας*] *ἑαυτὰς* M. ‖ 18. *ἄνδρα ἠγόρασέ μοι* M. ‖ 19. *σου εἰς τ. ὀ. σοί* M. ‖ *τοῦτο* C. ‖ 21. *δὲ* M. ‖ 22. *κατεβάλου* M. ‖ *ὁ δὲ ἔφη* om. M. ‖ 23. *ἔμεινεν ἔξω* M. ‖ 24. *μοί* om. M. ‖ *γοῦν καπριῶσα* M. ‖ 27. *ὁ ν. ποῦ ἐστιν* M. ‖ 28. *ἰδοὺ ἐγώ*] *ὧδε εἰμί* M. ‖ *ἡ δὲ κόρη θαμβηθεῖσα εἶπε* M.

μένη εἶπε „σὺ εἶ;“ ὁ δέ „ναὶ ἐγώ.“ ἡ δέ φησιν „ἀβάσκαντον, ποῦ σου ἡ κέρκος;“ ὁ δὲ ἀνασυράμενος τὰ ἔμπροσθεν αὐτοῦ ἱμάτια ἐπεδείκνυεν αὐτῇ λέγων „αὕτη μοι ὄντως κέρκος ὑπάρχει.“ ἡ δέ φησι „μὴ εἰσέλθῃς αἰφνιδίως καὶ φύγωσι πάντες.“ προλαβοῦσα δὲ ἐκείνη ταῖς λοιπαῖς ἔφη „ἐξελθοῦσαι ὄψεσθε πηλίκον κακόν, περὶ οὗ πᾶσαι διεμαχόμεθα.“ ἐξελθοῦσα δὲ ἄλλη καὶ ἰδοῦσα αὐτὸν εἶπε „ψῶ, παταχθῇ σου τὸ πρόσωπον. δεῦρο εἴσελθε, καὶ μή μοι κολλῶ.“ καὶ εἰσελθὼν ἄντικρυς ἔστη τῆς κυρίας αὐτοῦ. θεασαμένη δὲ αὐτὸν ἐκείνη ἀπεστράφη καί φησι πρὸς τὸν ἄνδρα „πόθεν μοι τοῦτο τὸ τέρας ἤνεγκες; οὗτός ἐστιν ὃν ἐγκωμιάζεις; ἐκβάλλετε αὐτὸν ἐκ τῆς ὄψεώς μου.“ ὁ δὲ Ξάνθος ἔφη „ἀρκεῖ σοι, κυρία μου, μὴ οὕτως σκῶπτέ μου τὸν νεώνητον.“ ἡ δὲ γυνὴ ἔφη „μεμίσηκάς με, Ξάνθε· ἑτέραν γὰρ γῆμαι θέλων καὶ αἰδούμενός μοι εἰπεῖν, ἵνα τῆς οἰκίας ὑποχωρήσω, ἤνεγκάς μοι τὸν κυνοκέφαλον τοῦτον ἐπίτηδες, ἵνα μὴ θέλουσα ὑπ' αὐτοῦ δουλευθῆναι ἐκφύγω. δός μοι οὖν τὴν προῖκά μου καὶ πορεύσομαι.“ ὁ δὲ Ξάνθος τῷ Αἰσώπῳ ἔφη „ἵνα μὴ εἰς τὴν ὁδὸν περιπατῶν οὐρήσω τοσαῦτά μοι ἔφης ῥήματα, καὶ νῦν οὐδὲν λέγεις πρὸς αὐτήν;“ Αἴσωπος εἶπε „ῥίψον αὐτὴν εἰς τὸ σκότος.“ ὁ δὲ „σιώπα, κάθαρμα· οὐκ οἶδας ὅτι ἀγαπῶ αὐτὴν ὡς ἐμαυτόν;“ Αἴσωπος λέγει „ποθεῖς τὸ γύναιον;“ Ξάνθος „ναὶ δραπέτα.“ ὁ οὖν Αἴσωπος ῥίψας τὸν πόδα εἰς τὸ μέσον ἀνεκραύγασε λέγων „Ξάνθος ὁ φιλόσοφος γυναικοκρατεῖται.“ εἶτα λέγει πρὸς αὐτήν „σὺ δὲ, κυρία μου, ἐβούλου ἵνα ὁ ἀνήρ σου ὠνήσηταί σοι παῖδα νέον, εὔσωμον, εὐόμματον, εὔκοσμον, οὐλόκομον, λευκόν,

1. ἀββάσκαντε supra ον addito C. ‖ 2. ὁ δὲ — διεμαχόμεθα in M tantum non omnia a muribus comesa. ‖ 7. ψῶ] ψώρα Schneiderus. ‖ παταχθείη corr. M. ‖ 8. μή μοι κολλῶ] μὴ προσεγγίσῃς μοι v. ‖ 9. εἰσελθὼν (om. καὶ) δὲ ἀ. τῆς δεσποίνης ἔστηκε M. ‖ θεασάμενος C. ‖ 11. τὸ τέρας τοῦτο, om. ἤνεγκες, M: κέρας C. ‖ ἐγκωμίαζες C. ‖ 12. ἔκβαλε α. ἀπὸ τῆς M. ‖ ὁ ξ. εἶπεν M. ‖ 13. σοι om. M. ‖ οὕτως om. M. ‖ μοι M. ‖ 14. δὲ om. M. ‖ γὰρ om. M. ‖ 15. καὶ om. M. ‖ 17. φίγω M. ‖ μοι om. M. ‖ 19. μὴ] τι C, om. M. ‖ οὐρήσας C. ‖ τοιαῦτα CM. ‖ 22. ἀγαπῶ] θέλω M, volebat φιλῶ. ‖ λέγει om. M. ‖ 23. ὁ ξ. M. ‖ οὖν Αἴσωπος] δὲ M. ‖ 24. ῥήξας supra ι addito C. ‖ ἀνακέκραγε, om. λέγων, M. ‖ 25. εἶτα — αὐτήν om. M. ‖ 26. μου om. M. ‖ ὠνήσεταί C. ‖ 27. εὔσωμον et εὔκοσμον om. M.

ὀφείλοντα εἰς τὸ βαλανεῖον ὑπηρετεῖν καὶ γυμνὴν βλέπειν σε καὶ εἰς τὸν κοιτῶνα κιρνᾶν καὶ τοὺς πόδας σου διατρίβειν καὶ προσπαίζοντά σοι αἰσχῦναι τὸν φιλόσοφον; ὦ Εὐριπίδη, χρυσοῦν σου τὸ ἀψευδὲς στόμα, ἅτε ἔλεγες

πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλασσίων,
δειναὶ δὲ ποταμῶν καὶ πυρὸς θερμοῦ πνοαί,
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία,
πλὴν οὐδὲν οὕτω δεινὸν, ὡς γυνὴ, κακόν.

σὺ δὲ, κυρία μου, φιλοσόφου γυνὴ οὖσα ὑπὸ νεανίσκων δουλευθῆναι θέλεις καλῶν, ἵνα βινητιῶσα ὕβριν τῷ ἀνδρί σου ἐπενέγκῃς;" ἡ δὲ ταῦτα ἀκούσασά φησι „πόθεν μοι, κύριε, τοῦτο τὸ κακὸν ἤγρευσας; ἀλλὰ καὶ στωμύλος μοι φαίνεται ὁ σαπρὸς οὗτος καὶ εὐτράπελος. διαλλαγήσομαι αὐτῷ." ὁ Ξάνθος ἔφη „Αἴσωπε, διήλλακταί σοι ἡ κυρία σου." ὁ δὲ Αἴσωπος „μέγα πρᾶγμα τυγχάνει καταπραῦναι γυναῖκα."

(6) Ξάνθος ἔφη „σιώπα τοῦ λοιποῦ· ὠνησάμην σε εἰς δουλείαν, οὐχὶ εἰς ἀντιλογίαν. ἄρας οὖν τὸ μαρσίπιον ἀκολούθει μοι, ὅπως ἀπὸ τῶν κήπων πριασώμεθα λάχανα." ὁ δὲ θεὶς ἐπὶ τῶν ὤμων τὸ ὠμόλινον ἠκολούθει τῷ Ξάνθῳ. ἐλθόντων δὲ αὐτῶν ἐν ἑνὶ τῶν κήπων λέγει τῷ κηπωρῷ „ἐπίδος ἡμῖν λάχανα." ὁ δὲ λαβὼν τὸ δρέπανον ἀπεθέριζεν αὐτῷ ἀσπαράγους, σεῦτλα, μαλάχας καὶ ἀρτύματα. εὐτελὲς δὲ δεσμήσας φορτίον ἐπέδωκε τῷ Αἰσώπῳ. ὁ δὲ Ξάνθος ἀνοίξας τὸ μαρσίπιον ἀπεδίδου τὸ κέρμα τῶν λαχάνων. ὁ δὲ κηπωρὸς λέγει τῷ Ξάνθῳ „ἔα, κύριε· ἑνὸς γάρ σου λόγου χρείαν ποιοῦμαι." ὁ δέ φησιν „εἰπέ." καὶ ὁ κηπωρός „κα-

1. ὑπηρετεῖν om. M. ‖ 3. προσπαίξαντά M. ‖ ὦ] ἀλλ' ὦ M. ‖ 4. χρυσὸν C. ‖ ἅτε] ὅτι M. ‖ 5. cf. Eurip. frgm. 880 Wagn.: auctius habet Stob. 73, 1. ‖ πολλαὶ] δεινὴ Stob. ‖ ὀργαὶ] ἀλκὴ Stobaeus. ‖ 6. ποταμοῦ Stobaeus. ‖ θερμόπνοια C, θερμὴ πνοιά M. ‖ 7. δὲ] μὲν C. ‖ δὲ ἄλλα M. ‖ 8. πλὴν] ἀλλ' Stobaeus. ‖ οὕτως ὡς γυνὴ ἐν ὑπερβολῇ κακῶν CM. ‖ 9. κυρία μου om. M. ‖ ὑπὸ καλῶν ν. δουλεύεσθαι θ. M. ‖ 10. βυνιτιῶσα M, βιτνιῶσα C. ‖ ἀνδρὶ ὑπενέγκῃς M. ‖ 11. ἀκούσασα ταῦτα ἔφη M. ‖ μοι κύριε om. M. ‖ 12. ἤγ. ὅμως στωμύλος ... ὁ σ. οὗτος φ. καὶ εὐτρ. διὰ ταῦτα διαλλ. M. ‖ 14. Αἴσωπε om. M. ‖ 15. δέ φησι μ. πρ. εἰ γύναιον πτῆξαν κατεπρανύθη. ὁ ξ. M. ‖ 17. οὐχὶ] οὐ μὴν δὲ M. ‖ τὸ μαρσίπιον] ὠμόλινον M. ‖ 18. τοῦ κήπου M. ‖ 19. τὸν ὦμον M. ‖ 20. δὲ εἰς ἕνα κῆπον M. ‖ κηπουρῷ δὸς M. ‖ 22. ἀσπαράγγους M. ‖ 24. ἐπεδίδου C. ‖ 25. λέγει τῷ Ξάνθῳ] ἔφη M. ‖ 26. ποιοῦμαι] π. ζητήματος ἕνεκεν M. ‖ εἰπέ] ὃ βούλει λέγε M.

θηγητά, διὰ τί τὰ παρ᾽ ἐμοῦ λάχανα σκαλιζόμενά τε καὶ ἀρδευόμενα καλῶς βραδεῖαν ἔχει τὴν αὔξησιν, τὰ δὲ ἀπὸ τῆς γῆς φυόμενά τε καὶ μηδαμῶς ἐπιμελούμενα ταχεῖαν ἔχει τὴν αὔξησιν;“ ὁ δὲ ἀκούσας ἐμφιλόσοφον ζήτημα καὶ μηδόλως εὑρίσκων τοῦτο λῦσαι „ἡ θεῖα πρόνοια“ ἔφη „ταῦτα ποιεῖ.“ ὁ δὲ Αἴσωπος ἀκούσας ἐγέλασεν. ὁ δὲ Ξάνθος λέγει πρὸς αὐτόν „γελᾷς ἢ καταγελᾷς;“ ὁ δὲ „καταγελῶ“ φησίν „οὐ σοῦ, ἀλλὰ τοῦ διδάξαντός σε. τὰ γὰρ ὑπὸ θείας προνοίας γινόμενα ὑπὸ σοφῶν διαλύονται. ὑπόσχου οὖν, κἀγὼ διαλύσω αὐτό.“ ὁ δὲ Ξάνθος ἔφη τῷ κηπωρῷ „κομψότατε, ἀπρεπές ἐστιν ἐμὲ τὸν ἐν τοσούτοις ἀκροατηρίοις διαλεχθέντα νῦν ἐν κήποις αἰνίγματα διαλύειν. παῖς δέ μοι ἀκολουθεῖ πολύπειρος. αὐτῷ προσανάθου καὶ διαλύσει σοι τὸ ζήτημα.“ καὶ ὁ κηπωρός φησι „οὗτος ὁ σαπρὸς γράμματα οἶδεν; οὐαὶ τῇ ἀτυχίᾳ μου.“ καὶ πρὸς τὸν Αἴσωπον λέγει „εἰπέ, εἰ ἐπίστασαι.“ καὶ ὁ Αἴσωπος „τοῦτο ζητεῖς ἀκοῦσαι, διὰ ποίαν αἰτίαν τὰ φυτὰ εἰς τὴν γῆν βάλλεις καὶ ταῦτα ἐπιμελῶς ἐργάζῃ, τὰ δὲ ἄγρια ταχέως ἀναβαίνει καὶ μᾶλλον τῶν παρὰ σοῦ βαλλομένων; ἄκουσον. ὃν τρόπον γυνὴ πρὸς δεύτερον ἐρχομένη γάμον, τέκνα ἔχουσα ἐκ προτέρου ἀνδρός, εὗρε δὲ τὸν ἄνδρα ἐκ τῆς προτέρας τεκνοῦντα· γίνεται οὖν ὧν μὲν ἐπιφέρεται μήτηρ, ὧν δὲ εὑρίσκεται μητρυιά. καὶ τούτων ἡ διαφορὰ γίνεται πολλή. τὰ γὰρ ἐξ αὐτῆς γεννηθέντα φιλοστόργως ἀνατρέφει, τὰ δὲ ἐξ ἀλλοτρίων ὠδίνων τεχθέντα μισεῖ, καὶ ζήλῳ χρωμένη, περικόπτουσα μᾶλλον τὴν ἐκείνων τροφὴν τοῖς ἰδίοις δίδωσι τέκνοις. τὰ γὰρ ἴδια ὡς φύσει φιλεῖ, τὰ δὲ τοῦ ἀνδρὸς ὡς θέσει μισεῖ. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ γῆ τῶν μὲν αὐτομάτως φυομένων ἐστὶ μήτηρ, τῶν

1. ἐμοῦ βαλλόμενα λάχανα εἰς τὴν γῆν σκ. M. ‖ 2. καλῶς om. M. ‖ ἀπὸ] αὐτοματὶ ἀπὸ M. ‖ 3. τε om. M. ‖ μ. αὐτῶν μελούμενα τάχιον αὔξεται M. ‖ 4. ἐμφιλόσοφον supra ἀφι addito C. ‖ καὶ μὴ εὑρὼν λ. M. ‖ 5. τοῦτο] τοῦ C. ‖ τῇ θείᾳ προνοίᾳ ἔφη πάντα διοικεῖται M. ‖ 6. αἰσωπὸς δὲ M. ‖ Ξάνθος λέγει om. M. ‖ 9. γινόμενα] διοικούμενα M. ‖ 10. ὁ ξ. οὖν τῷ κηπουρῷ λέγει M. ‖ 11. ἐστ᾽ ἐμὲ M. ‖ 12. κήποι C. ‖ διαλαλεῖν M. ‖ πολ. ἀκ. μοι M. ‖ 13. σοι om. M. ‖ 14. καὶ om. M. ‖ 15. μου — εἰπέ] εἰπὲ φησὶ M. ‖ 16. καὶ ὁ Αἴσωπος] αἴσωπος εἶπε M. ‖ 18. τάχιον M. ‖ ἀναβαίνει μᾶλλον ἢ τῶν C. ‖ 19. ἄκουε καὶ πρόσεχε M. ‖ 20. δὲ] δὲ καὶ M. ‖ 21. ἄνδρα τέκνα ἔχοντα ἐκ προτέρας γυναικός M. ‖ οὖν om. M. ‖ 27. ξένα super θέσει add. C.

δὲ παρὰ σοῦ βαλλομένων μητρυιά, καὶ μᾶλλον τὰ ἴδια τρέφει καὶ θάλπει ἢ τὰ παρὰ σοῦ φυτευθέντα· ὡς νόθα γάρ εἰσιν." ὁ δὲ κηπωρὸς ἀκούσας ταῦτα λέγει „πίστευσόν μοι, πολύ με τῆς λύπης ἐκούφισας. ἔχε τὰ λάχανα δωρεάν. ἐὰν δέ τινος χρείαν ἔχῃς, ὡς εἰς ἴδιον παραγίνου κῆπον."

(7) Ἐγένετο δὲ μεθ' ἡμέρας τινὰς λουομένου τοῦ Ξάνθου φίλους εὑρεῖν ἐν τῷ λοετρῷ. καὶ λέγει τῷ Αἰσώπῳ „προλαβὼν εἰς τὸν οἶκον βάλε φακὸν εἰς κάκαβον καὶ ἕψησον αὐτὸν ἡμῖν." δραμὼν οὖν ὁ Αἴσωπος εἰς τὸ ταμεῖον, λαβὼν ἕνα κόκκον φακοῦ καὶ βαλὼν εἰς κάκαβον ἕψει. ὁ δὲ Ξάνθος λουσάμενος σὺν τοῖς φίλοις αὐτοῦ ἔφη αὐτοῖς „καταξιώσατε σήμερον μετ' ἐμοῦ εὐτελῶς ἀριστῆσαι. πρὸς φακὸν ἡμῖν τὸ δεῖπνόν ἐστιν. οὐ δεῖ γὰρ τῇ ποικιλίᾳ τῶν βρωμάτων τοὺς φίλους κρίνειν, ἀλλὰ τῇ προαιρέσει καὶ τῇ προθυμίᾳ δοκιμάζειν." καὶ ἀγαγὼν αὐτοὺς εἰς τὴν οἰκίαν φησίν „Αἴσωπε, δὸς πιεῖν ἀπὸ τοῦ βαλανείου." ὁ δὲ ξέστην λαβὼν καὶ δραμὼν ἐν τῷ πριβάτῳ πλήσας τε ἐκ τῆς ἀπορροίας καὶ κεράσας ἐπέδωκε τῷ Ξάνθῳ. ὁ δὲ τῆς δυσωδίας πλησθεὶς λέγει „τί τοῦτο, Αἴσωπε;" ὁ δέ φησιν „ἀπὸ βαλανείου ἔφησας." ὁ δὲ Ξάνθος ἔννοος γενόμενός φησι „παράθες μοι λεκάνην." ὁ δὲ θεὶς τὴν λεκάνην εἱστήκει. καὶ ὁ Ξάνθος „οὐ νίπτεις;" Αἴσωπος εἶπεν „ἐντέταλκάς μοι ἵνα, ὅσα ἂν ἀκούω, ἐκεῖνα πράττω. οὐκ εἶπας, βάλλε εἰς τὴν λεκάνην ὕδωρ καὶ νίψαι μου τοὺς πόδας καὶ θές μου τὰ σανδάλια καὶ ὅσα κατεξῆς." ὁ δὲ Ξάνθος λέγει τοῖς φίλοις „μὴ γὰρ δοῦλον ὠνησάμην, ἀλλὰ καθηγητήν." ἀνακλιθέντων οὖν αὐτῶν εἰς τόπον ὁ Ξάνθος ἔφη „Αἴσωπε, ἕψηται ὁ φακός; δός, φάγωμεν." ὁ δὲ λαβὼν κοχλιάριον ἐπέδωκεν αὐτῷ τὸν κόκκον τοῦ φακοῦ· λαβὼν οὖν ὁ Ξάνθος καὶ δοκῶν, ὅτι πρὸς τὸ πειρᾶσαι τὴν ἕψησιν ἐπεδόθη αὐτῷ, ἐκθλίψας ἔφη „καλῶς ἕψηται, κόμισον καὶ φάγωμεν." τοῦ δὲ κενώσαντος λέγει „ποῦ ἐστιν ὁ φακός;" ὁ δὲ „ἔλαβες αὐτόν." καὶ ὁ Ξάνθος λέγει „ἕνα κόκκον ἕψησας;" ὁ δὲ „ναί" φησί· „φακὸν γὰρ εἶπας, καὶ οὐ φακούς. τὸ μὲν γὰρ ἑνικόν ἐστι, τὸ δὲ πληθυντικόν." ὁ δὲ Ξάνθος διαπορήσας λέγει „ἄνδρες ἀδελφοί, οὗτός με

5. εἰς addidi ex v, πρὸς Schneiderus. ‖ 12. τὸ δεῖπνον addidi. ἐπὶ φακῇ γὰρ ἔσται τὸ δεῖπνον v. ‖ 20. ἐννεὸς C. ‖ 26. πότον supra τόπον addito C.

ταχὺ εἰς μανίαν περιτρέψει. ἀλλ᾽ ἵνα μὴ δόξω τοὺς φίλους ἐνυβρίζειν, ἀπελθὼν ὤνησαί μοι χοίρου ἑνὸς πόδας τέσσαρας καὶ ἐκζέσας παράθες.“ ὁ δὲ Αἴσωπος λαβὼν ἧψει. ὁ οὖν Ξάνθος θέλων εὐλόγως τύψαι αὐτόν, αὐτοῦ διά τινα χρείαν ἀσχολουμένου, λαβὼν ὁ Ξάνθος ἀπὸ τῆς χύτρας ἕνα ποῦν ἀπέκρυψεν. ὁ οὖν Αἴσωπος ἐλθὼν καὶ εἰς τὴν χύτραν τηρήσας, ὡς εἶδε τρεῖς μόνους πόδας ὄντας, ἐπέγνω ὅτι ἐνέδρα αὐτοῦ ἐγεγόνει, καὶ κατελθὼν εἰς τὸ περίαυλον καὶ περιελὼν τὴν μάχαιραν τοῦ σιτευομένου χοίρου τὸν ἕνα ποῦν ἐκκόψας καὶ καδίσας ἔρριψεν εἰς τὴν χύτραν καὶ συνῆψεν. ὁ δὲ Ξάνθος ὑποπτεύσας, μήπως ὁ Αἴσωπος τὸν λείποντα ποῦν μὴ εὑρηκὼς δραπετεύσῃ, πάλιν αὐτὸν εἰς τὴν χύτραν ἐνέβαλε. γίνονται οὖν πόδες πέντε. ὁ οὖν Αἴσωπος κατακενοῖ τοὺς πόδας εἰς τὸν πίνακα, καὶ ἰδοὺ πόδες πέντε. ὁ δὲ Ξάνθος „τί τοῦτο“ φησίν „Αἴσωπε;“ ὁ δὲ λέγει „δέσποτα, οἱ δύο χοῖροι πόσους πόδας ἔχουσι;“ καὶ ὁ Ξάνθος „ὀκτώ.“ Αἴσωπος λέγει „εἰσὶν ὧδε πέντε, καὶ ὁ χοῖρος νέμεται κάτωθεν τρίπους.“ τότε ὁ Ξάνθος λέγει πρὸς τοὺς φίλους „οὐκ εἶπον ὑμῖν, ὅτι οὗτος ταχέως εἰς μανίαν με περιτρέψει;“ Αἴσωπος ἔφη „δέσποτα, οὐκ οἶδας, ὅτι τὰ ἐκ περισσείας γινόμενά τε καὶ πραττόμενα καὶ λεγόμενα κατὰ προσθήκην καὶ ὑφεισμὸν οὐ μέτριά εἰσιν ἁμαρτήματα;“ ὁ οὖν Ξάνθος μηδεμίαν ἀφορμὴν εὑρηκὼς μαστιγῶσαι τὸν Αἴσωπον ἡσύχασε.

(8) Τῇ δὲ ἑξῆς ἡμέρᾳ τὸ ἀκροατήριον τῶν παίδων ἐγένετο πρὸς τὸν Ξάνθον. εἷς δὲ τῶν σχολαστικῶν δεῖπνον μέγα κατασκευάσας ἐκάλεσε τὸν Ξάνθον σὺν τοῖς λοιποῖς σχολαστικοῖς. ὁ οὖν Ξάνθος λαβὼν ἐν τῷ δείπνῳ μέρη πολλὰ ἐπέδωκε τῷ Αἰσώπῳ καί φησι „ἀπελθὼν ἐπίδος αὐτὰ τῇ εὐνοούσῃ.“ ὁ δὲ κατερχόμενος ἔλεγε καθ᾽ ἑαυτόν „νῦν καιρὸς ἀμύνασθαί μου τὴν κυρίαν ἀνθ᾽ ὧν νεώνητον ὄντα με ἔσκωπτε. ὄψεται τοίνυν, τίς τῷ κυρίῳ μου εὐνοεῖ.“ ἐλθὼν οὖν εἰς τὴν οἰκίαν ἐκάθισε καὶ προσκαλεσάμενος αὐτὴν ἔθηκε τὴν σπυρίδα ἔμπροσθεν αὐτῆς καί φησι „κυρία μου, μὴ τέτρωκται ἐξ αὐτῶν τι;“ ἡ δέ φησι „πάντα ὑγιῆ καὶ ἀσινῆ

1. περιτρέψει supra πει addito C. ‖ 2. ὤνεσαι C. ‖ 7. ἐνέδρον supra α adiecto C. ‖ 10. καδίσας] sic C. an καθαρίσας? v καὶ τῶν τριχῶν ψιλώσας. ‖ συνήψει C. ‖ 24. ἀκρωτήριον C. ‖ 32. αὐτὴν] αὐτοῦ C.

τυγχάνει.“ ὁ δέ φησιν „οὐ σοὶ πέπομφε ταῦτα, ἀλλὰ τῇ εὐνοούσῃ.“ ἡ δὲ γυνὴ τοῦ Ξάνθου φησί „καὶ τίς αὐτῷ πλεῖόν μου εὐνοεῖ;“ ὁ δὲ ἔφη „μεῖνον καὶ ὄψει.“ φωνήσας δὲ τὴν κύνα „δέχου“ φησί „Λύκαινα καὶ φάγε.“ ἡ δὲ ποππύσασα προσέδραμεν ἐπ' αὐτῷ τὴν κέρκον ὧδε κἀκεῖσε περιστρέφουσα, καὶ οὕτως ἔρριψε τῇ κυνὶ ἓν καθ' ἓν ὅλα τὰ μέρη, λέγων „σοὶ εἶπεν ὁ δεσπότης δοθῆναι.“ πάλιν οὖν ἐπορεύθη ὁ Αἴσωπος πρὸς τὸν δεσπότην. ὁ δὲ Ξάνθος λέγει αὐτῷ „δέδωκας τῇ εὐνοούσῃ τὰ μέρη;“ ὁ δὲ ἔφη „πάντα λαβοῦσα ἐνώπιόν μου κατέφαγε.“ καὶ ὁ Ξάνθος „τί δὲ ἄρα ἔλεγεν ἐσθίουσα;“ Αἴσωπος εἶπε „ἐμοὶ μὲν οὐδέν, τῷ δὲ νοῒ αὐτῆς ηὔχετό σοι.“ ἡ δὲ γυνὴ τοῦ Ξάνθου περίλυπος γενομένη ἔλεγε „τὴν κύνα προκέκρικέ μου, πῶς αὐτῷ εὐνοήσω; οὐ μείνω μετ' αὐτοῦ.“ καὶ εἰσελθοῦσα εἰς τὸν κοιτῶνα ἐπένθει. τοῦ δὲ πότου προκόπτοντος ζητήματα πρὸς ἀλλήλους ἐτίθεντο. ἑνὸς δὲ ἐξ αὐτῶν εἰπόντος „πῶς ἔσται μεγάλη ταραχὴ ἐν ἀνθρώποις;“ Αἴσωπος ὄπισθεν ἑστὼς εἶπε „ἐὰν οἱ νεκροὶ ἀναστάντες τὰ ἴδια ἀπαιτήσωσι.“ γελάσαντες δὲ οἱ σχολαστικοὶ εἶπον „νοήμων ὁ νεώνητός ἐστι καὶ οὐκ ἄχαρις· ἀλλὰ πάντας ἐξάπινα ὁ Ξάνθος διδάσκει αὐτόν, πλὴν πάντα καλῶς λέγει.“ ἄλλος ἔφη „διὰ τί τὸ μὲν πρόβατον πρὸς σφαγὴν ἑλκόμενον οὐ βοᾷ, ὁ δὲ χοῖρος μεγάλα κράζει;“ Αἴσωπος δὲ πάλιν ἑστὼς ἔφη „τὸ μὲν πρόβατον συνήθως ἀμελγόμενον καὶ κειρόμενον, ἑλκόμενον ἀκολουθεῖ, σκελιζόμενον δὲ καὶ τὸν σίδηρον βλέπον οὐδὲν ὑποπτεύει· δοκεῖ γὰρ τὸ τοῦ πόκου βάρος ἐναποτίθεσθαι καὶ τὴν τοῦ γάλακτος ἄμελξιν. ὁ δὲ χοῖρος μήτε γάλα εὔχρηστον ἔχων μήτε τρίχας καλάς, εἰδὼς ὅτι πρὸς χρῆσιν τῶν κρεῶν τὸ αἷμά τις κενῶσαι θέλει, κέκραγε, μὴ ἔχων τι ἕτερον προσδοῦναι.“ οἱ δὲ σχολαστικοὶ θαυμάσαντες ἐπῄνεσαν αὐτόν. καὶ οὕτως ἀνέλυσαν τοῦ δείπνου. ὁ δὲ Ξάνθος εἰσελθὼν πρὸς τὴν γυναῖκα αὐτοῦ ἐν τῷ κοιτῶνι ἐκολάκευεν αὐτήν, ἡ δὲ αὐτὸν ἀπεστρέφετο καί φησι „μὴ θίγῃς μου· δός μοι τὴν προῖκά μου, οὐ

2. τῷ Ξάνθῳ C. ‖ αὐτὸν supra ω addito C. ‖ 5. κέρκαν C. ‖ 6. κυνὶ Schneiderus, κυνῇ C. ‖ 8. δεσπότην Schneiderus, δεσπότα C. ‖ 20. αὐτόν suspectum, nisi πάντα mavis. ‖ 25. βλέπον Schneiderus, βλέπων C. ‖ 30. θαυμάσαντες supra γέλα adiecto C. ‖ 31. τοῦ] malim ἐκ τοῦ ‖ 32. τῷ Schneiderus, τῇ C. ‖ 33. θ. μου Schneiderus, θ. μοι C.

μείνω μετὰ σοῦ. ἀπελθὼν τὴν κύνα κολάκευε, ἧ τὰ μέρη πέπομφας." ὁ δὲ Ξάνθος ἐν ἑαυτῷ γενόμενός φησι „τί ποτέ μοι πάλιν ἤρτυσεν Αἴσωπος;" καί φησι „κυρία, ἐγὼ πέπωκα καὶ σὺ μεθύεις. τίνι ἔστειλα τὰ μέρη; οὐχὶ σοί;" ἡ δὲ „οὐκ ἐμοί" φησί „ἀλλὰ τῇ κυνί." Ξάνθος εἶπεν „Αἴσωπόν μοί τις καλεσάτω." ἐλθόντος δὲ αὐτοῦ λέγει αὐτῷ „τίνι ἔδωκας τὰ μέρη;" ὁ δὲ ἔφη „τῇ εὐνοούσῃ." ὁ Ξάνθος φησίν „οὐδὲν ἔλαβε." καὶ ἡ γυνὴ ἐφώνησεν „οὐδὲν εἴληφα ἐγώ." Αἴσωπος ἔφη „τίνι εἶπες δοθῆναι τὰ μέρη;" ὁ Ξάνθος εἶπε „τῇ εὐνοούσῃ." καὶ ὁ Αἴσωπος „μὴ οὖν αὕτη σοι εὐνοεῖ;" ὁ Ξάνθος „ἀλλὰ τίς, δράπετα;" ὁ δὲ Αἴσωπος φωνήσας τὴν κύνα φησίν „αὕτη σοι μᾶλλον εὐνοεῖ· ἡ γυνὴ γὰρ κἂν λέγῃ εὐνοεῖν, οὐκ εὐνοεῖ. εἰ γάρ ποτε ἐπ' ἐλαχίστῳ λυπηθῇ, ὑβρίζει, ἀντιλέγει, ἀναχωρεῖ. τὴν δὲ κύνα δεῖρον, δίωξον, καὶ οὐχ ὑποχωρήσει, ἀλλ' εὐθὺς ἐπιλανθανομένη πάντα πάλιν τὴν κέρκον τῷ δεσπότῃ ἐπισείει χαριέντως. ἔδει σε δὲ εἰπεῖν, τῇ γυναικί μου ταῦτα ἐπίδος καὶ μὴ τῇ εὐνοούσῃ." ὁ δὲ Ξάνθος τῇ ἑαυτοῦ γυναικὶ εἶπε „βλέπεις, κυρία μου, ὅτι οὐκ ἐμὸν τὸ αἴτιον, ἀλλὰ τοῦ προσενεγκόντος. μακροθύμησον οὖν, καὶ εὑρήσω πρόφασιν, δι' ἧς αὐτὸν μαστιγώσω." ἡ δέ „ἀπὸ τοῦ νῦν οὐ συνοικήσω μετὰ σοῦ οὐκέτι." ἐξελθοῦσα δὲ λαθραίως ἐπορεύθη πρὸς τοὺς ἑαυτῆς γονεῖς. ὁ δὲ Αἴσωπος ἔφη τῷ κυρίῳ αὐτοῦ „οὐκ εἶπόν σοι, ὅτι ἡ κύων σοι εὐνοεῖ, καὶ οὐχ ἡ κυρία μου;" ἡμερῶν δὲ διελθουσῶν καὶ αὐτῆς ἀδιαλλάκτου μενούσης ἔπεμψέ τινας ὁ Ξάνθος, παρακαλῶν ὅπως ὑποστρέψῃ αὐτή· ἡ δὲ οὐκ ἐπείθετο. ἐν πολλῇ οὖν ἀθυμίᾳ ὑπάρχων ὁ Ξάνθος διὰ τὴν τῆς γυναικὸς στέρησιν, προσελθὼν ὁ Αἴσωπος λέγει αὐτῷ „μὴ λυποῦ, ὦ κύριέ μου· ἐγὼ γὰρ τὴν αὔριον αὐτὴν δράσω ὅπως μόνη ἀνακάμψῃ πρὸς σέ." καὶ λαβὼν νομίσματα ἐξῄει εἰς τὴν ἀγοράν, καὶ ὠνησάμενος ὄρνιθας, χῆνάς τε καὶ ἕτερα ἀπῄει βαστάζων αὐτά, διερχόμενος κατὰ τὸν τόπον, ἐν ᾧ ἦν ἡ κυρία αὐτοῦ, προσποιούμενος δῆθεν μὴ γινώσκειν ὅτι

1. ἧ Schneiderus, ἐν ἧ C. ‖ 4. σοί add. Schneiderus. ‖ 10. σοι Schneiderus, σου C. ‖ 12. λέγει C. ‖ 16. δὲ] δέσποτα v. ‖ 27. τοῦ Ξάνθου — εἰς ἀθυμίαν πεσόντος v. ‖ 29. δράσω addidi ex v. ‖ 33. γινώσκειν Schneiderus, γινώσκων C.

ἐκεῖσε ὑπάρχει ἡ τοῦ Ξάνθου γυνή. εὑρὼν δέ τινα τῶν οἰκετῶν τῶν ἑαυτῆς γονέων ἔφη αὐτῷ „ἆρά γε, ἀδελφέ, μὴ ἔχουσι χῆνας ἢ ἄλλο τι τῶν πρεπόντων εἰς γάμους;“ ὁ δέ „καὶ τί τούτων χρείαν ἔχεις;“ καὶ ὁ Αἴσωπος „Ξάνθος ὁ φιλόσοφος τῇ αὔριον μέλλει γυναικὶ συζευχθῆναι.“ ὁ δὲ δρομαίως ἀναβὰς ἀπήγγειλε ταῦτα τῇ τοῦ Ξάνθου γυναικί, ἡ δὲ ἀκούσασα ἀπῄει μετὰ πολλῆς σπουδῆς πρὸς τὸν Ξάνθον καὶ κατεβόα αὐτοῦ λέγουσα „ὦ Ξάνθε, ἐμοῦ ἐν τῇ ζωῇ ὑπαρχούσης ἑτέρᾳ γυναικὶ ἁρμοσθῆναι οὐ δύνασαι.“

(9) Μετ' ὀλίγας δὲ ἡμέρας προσκαλεσάμενος σχολαστικοὺς εἰς ἄριστον ἔφη πρὸς τὸν Αἴσωπον „ἀπελθὼν ὀψώνησον, εἴ τι καλὸν καὶ χρηστόν.“ ὁ δὲ Αἴσωπος ἀπιὼν ἔλεγε πρὸς ἑαυτόν „ἐγὼ αὐτῷ ἀποδείξω μὴ μωρὰ διατάσσειν.“ φθάσας δὲ εἰς τὸ μάκελλον πάντων τῶν τεθυμένων χοίρων ἠγόρασε τὰς γλώσσας, καὶ ἐλθὼν κατεσκεύασε καὶ παρέθηκε τράπεζαν. ἀνακλιθέντων δὲ τῶν φίλων σὺν τῷ Ξάνθῳ μετὰ τὸ πιεῖν ἔφη „δὸς ἡμῖν, Αἴσωπε, τὶ φαγεῖν.“ ὁ δὲ παρέθηκεν ἑκάστῳ γλῶσσαν ἑφθὴν καὶ ὀξύγαρον. οἱ δὲ σχολαστικοὶ τὸν Ξάνθον ἐπῄνεσαν λέγοντες „ὦ καθηγητά, καὶ τὸ ἄριστόν σου φιλοσοφίας πλῆρες. εὐθέως γὰρ γλώσσας ἐπέδωκας, δι' ἧς πᾶσα φιλολογία εἰσπέμπεται, καὶ τὸ κρεῖττον ἐξ ὕδατος· πᾶσα γὰρ γλῶσσα ἐν ὑγρῷ καθέστηκεν.“ ἔφαγον οὖν ἡδέως. ἐν δὲ τῷ πιεῖν λέγει ὁ Ξάνθος „Αἴσωπε, δὸς ἡμῖν φαγεῖν τι.“ ὁ δὲ παρέθηκεν ἑκάστῳ γλῶσσαν ὀπτὴν δι' ἁλὸς καὶ πεπέρεως. οἱ δὲ σχολαστικοὶ εἶπον „οὐά, καθηγητά, οἰκείως καὶ προσφόρως γλῶσσα ἐτέθη· πᾶσα γὰρ γλῶσσα πυρὶ ἠκόνηται. καὶ τὸ κρεῖττον δι' ἁλοπεπέρεως· τὸ γὰρ ἑλικτὸν τὸ δριμὺ συγκρατεῖ καὶ τὸ δάκνον ἐπιδήξεται.“ πάλιν οὖν ἔφαγον ἡδέως. καὶ μετ' ὀλίγον ἔφη ὁ Ξάνθος „Αἴσωπε, δὸς ἡμῖν φαγεῖν τι.“ ὁ δὲ πάλιν παρέθηκε ἑκάστῳ γλῶσσαν ἀρτυτήν. οἱ δὲ σχολαστικοὶ πρὸς ἀλλήλους ἔλεγον „ἡμεῖς τὰς γλώσσας ἠλγήσαμεν γλώσσας τρώγοντες. οὐκ ἔχομέν τι ἕτερον φαγεῖν;“ πάλιν Αἴσωπος ἑκάστῳ γλῶσσαν ζωμευτὴν παρέθηκεν. οἱ δὲ σχολαστικοὶ ἀγανακτοῦντές

2. αὐτῆς Schneiderus. ‖ 3. ἔχωσι C. ‖ 7. ἀπίει C. ‖ 18. γλῶσσαν] in C infra modo per σσ modo per ττ scriptum. ‖ ὀξύγαρον Schneiderus, ὀξόγαρον C. ‖ 19. τὸν Ξάνθον Schneiderus, τῷ Ξάνθῳ C. ‖ 28. ἑλικτὸν] an ἁλυκὸν? ‖ ἐπιδέξηται C.

φασιν „ἕως πότε γλώσσας; ψῶ τῷ ἀρίστῳ τούτῳ.“ θυμωθεὶς οὖν ὁ Ξάνθος ἔφη „Αἴσωπε, οὐκ ἔχεις τι ἕτερον;“ ὁ δὲ εἶπεν „οὔ.“ καὶ ὁ Ξάνθος „οὐκ εἶπόν σοι, κατάρατε, ὅτι εἴ τι καλὸν καὶ χρηστόν, ὤνησαι;“ ὁ δέ φησι „χάριν ἔχω, ὅτι ἀνδρῶν φιλολόγων παρόντων μέμφῃ με. εἶπας, εἴ τι καλόν, εἴ τι χρηστόν. καὶ τί μεῖζον ἐν βίῳ γλώσσης; πᾶσα γὰρ φιλοσοφία καὶ παιδεία ἐξ αὐτῆς συνέστηκε, καὶ δι' αὐτῆς δόσεις, λήψεις, ἀσπασμοί, ἀγορασίαι, δόξαι, μοῦσαι, γάμοι, πόλεις ἀνορθοῦνται καὶ πάλιν καταβάλλονται, γλῶσσα ἄνδρα ταπεινοῖ καὶ πάλιν ὑψοῖ. διὰ γὰρ γλώσσης πᾶς ὁ βίος ἡμῶν συνέστηκεν. οὐδὲν οὖν αὐτῆς ἐστι κρεῖσσον.“ οἱ δὲ σχολαστικοὶ εἶπον „οὐδὲν κρεῖττον γλώσσης, σὺ ἥμαρτες, καθηγητά.“ ὕβριν δὲ τοῦτο λογισάμενοι ἀνέστησαν τοῦ ἀρίστου, ὁλονυκτὶ δυσφορήσαντες. τῇ δὲ ἑξῆς ἡμέρᾳ μεμφθεὶς ὑπὸ τῶν φιλοσόφων ὁ Ξάνθος ἔφη „οὐ γέγονε κατὰ τὴν ἐμὴν θέλησιν, ἀλλὰ κατὰ τὴν τοῦ ἀχρείου δούλου. σήμερον ἀνταλλάξομαι εἰς δεῖπνον, ἐνώπιον δὲ ὑμῶν διαλεχθήσομαι αὐτῷ.“ καί φησιν „Αἴσωπε, ἐπεὶ δοκεῖ σοι τὰ εὔχρηστα λαλεῖν, κἀγώ σοι τὰ ἐναντία διατάξομαι. ἀπελθὼν ἀγόρασον, εἴ τι σαπρόν, εἴ τι χεῖρον, ἐπεὶ πρὸς δεῖπνον καλῶ τοὺς σχολαστικούς.“ Αἴσωπος δὲ μηδὲν ταραχθεὶς ἀπῆλθεν εἰς τὸ μάκελλον καὶ πάλιν γλώσσας ἀγοράσας ἐποίησεν ὡσαύτως. ἐλθόντες οὖν οἱ σχολαστικοὶ κατεκλίθησαν. μετὰ δὲ τὸ πιεῖν ἑκάστῳ γλῶσσαν ἐξ ὕδατος ἔθηκε καὶ ὄξους. οἱ δὲ πρὸς ἑαυτοὺς ἔλεγον „χοίρειαι πάλιν γλῶσσαι. πάντως θέλει ἀπὸ τῆς χθὲς διαρροίας τὸν στόμαχον τῷ ὄξει ἀνακτήσασθαι.“ καὶ μετ' ὀλίγον παρέθηκε γλώσσας. οἱ δὲ σχολαστικοὶ ἐταράχθησαν. ὁ δὲ Ξάνθος φησίν „Αἴσωπε, τί τοῦτο; μὴ εἶπόν σοι, εἴ τι καλόν, εἴ τι χρηστόν, οὐκ εἶπόν σοι, εἴ τι σαπρόν, εἴ τι χεῖρον;“ ὁ δὲ ἔφη „καὶ τί ἐστι χεῖρον γλώσσης; διὰ γλώσσης ἔχθρα, διαβολαί, μέμψεις, φθόνοι, ζηλοτυπίαι καὶ πολέμων ἀφανισμοί. καὶ τί λέγω τὰ

5. *με* supra *οι* addito C. ‖ 6. *μείζων* C. ‖ 12. *οὐδὲν*] *εἰ οὐδὲν* Schneiderus. ‖ 15. *μεφθεὶς* C. ‖ 17. *ἀνταλλάξομαι* Schneiderus, *ἀνταλλάξαμαι* C. ‖ *ἐνωπίων* C. ‖ 19. *διατάξομαι* Schneiderus, *διατάξομοι* C. ‖ 26. *θέλων* C. ‖ 32. *ἀφανισμοί*] *ἀφορμαί* aut *ἐπαφορισμοί* Schneiderus. possit et *πόλεων*.

πολλά, οὐδέν ἐστι χεῖρον γλώσσης. διὰ γὰρ γλώσσης πολλοὶ ἀπώλοντο καὶ εἰς πενίαν ἐσχάτην κατήντησαν." τὶς δὲ τῶν ἀνακειμένων τῷ Ξάνθῳ ἔφη „τούτῳ ἐὰν οὐ προσέχῃς, εἰς μανίαν σε περιτρέπει· οἵα γὰρ ἡ μορφὴ αὐτοῦ, τοιάδε καὶ ἡ ψυχὴ αὐτοῦ." Αἴσωπος ἔφη „σύ μοι δοκεῖς κακεντρεχέστερος εἶναι παροξύνων δεσπότην κατ' οἰκέτου, ὡς περίεργος καὶ τὰ ἀλλότρια μεριμνῶν."

(10) Ὁ δὲ Ξάνθος ζητῶν ἀφορμὴν τοῦ μαστιγῶσαι τὸν Αἴσωπον λέγει „δράπετα, ἐπεὶ περίεργον εἶπας τὸν φίλον, δεῖξόν μοι ἀπερίεργον ἄνθρωπον." ὁ δὲ ἔφη „δέσποτα, εἰσὶ πολλοὶ τὰ οἰκεῖα τρώγοντες καὶ πίνοντες καὶ τὰ ἴδια μεριμνῶντες, ἔνιοι δὲ τῶν ἀνθρώπων τὰ ἴδια οὐ μνημονεύοντες τὰ ἀλλότρια περιεργάζονται." Ξάνθος εἶπεν „ἕτερον δεῖπνον ἑτοιμάσω· σὺ δὲ πορευθεὶς κάλει μοι ἄνθρωπον ἀπερίεργον, ἵνα, ὃ ἂν ἴδῃ ἢ ἀκούσῃ, μὴ περιεργάσηται." ὁ δὲ Αἴσωπος ἐλθὼν εἰς τὴν ἀγορὰν εὗρε γενομένην μάχην καὶ ὄχλον πολὺν συνεστῶτα, ἕνα δὲ παρ' ἑνὸς μέρους αὐτῶν καθεζόμενον καὶ ἀναγινώσκοντα. Αἴσωπος καθ' ἑαυτόν φησι „τοῦτον καλέσω, ἀπερίεργος φαίνεται, καὶ μενῶ ἄπληγος." ἀπελθὼν οὖν πρὸς αὐτόν φησι „κομψότατε, Ξάνθος ὁ φιλόσοφος μαθών σου τὴν πρᾳότητα ἐπὶ δεῖπνον καλεῖ." ὁ δέ φησιν „ἐλεύσομαι. εὑρήσεις δέ με πρὸ τοῦ πυλῶνος." ἐλθὼν οὖν ὁ Αἴσωπος ηὐτρέπισε τὸ δεῖπνον. ὁ Ξάνθος φησίν „Αἴσωπε, ποῦ ὁ ἀπερίεργος ἄνθρωπος;" ὁ δέ „πρὸ τοῦ πυλῶνος ἕστηκε." τῇ δὲ τακτῇ ὥρᾳ εἰσήγαγεν αὐτόν, καὶ κατεκλίθη μετὰ τῶν φίλων. ὁ δὲ Ξάνθος εἶπε δοθῆναι τῷ ξένῳ πρῶτον οἰνόμελι. ὁ δέ φησιν „οὐχί, κύριε, σὺ πρῶτον πίε, εἶτα ἡ γυνή σου, ἔπειτα ἡμεῖς οἱ φίλοι σου." ὁ δὲ Ξάνθος νεύει τῷ Αἰσώπῳ „ἔχω ἅπαξ." καί πως ἐφαίνετο ἀπερίεργος. εἶτα ἰχθύων λοπάδας παρετίθει. ὁ Ξάνθος ἐπαφορμιζόμενος ἔφη „τοσαῦτά μου ἀρτύματα δεδωκότος κατεφρονήθη ἡ μαγειρία· οὔτε γὰρ ἀρώματα οὔτ' ἔλαιον οὔθ' ὁ ζωμὸς σύγχυλος. τυφθήτω ὁ μάγειρος." ὁ δὲ ξένος φησί „παῦσαι, δέσποτα, οὐδὲν αἴτιον, πάντα καλά." ὁ δὲ Ξάνθος πάλιν νεύει τῷ

2. ἀπώλοντο aut ἀπώλλυντο Schneiderus, ἀπώλλοντο C. ‖ 4. περιτρέψει Schneiderus. ‖ 15. ἐὰν C. ‖ 30. λοπάδας (aut λοπὰς παρετίθετο) Schneiderus, λωπὰς C. ‖ 33. τυφθείτω C.

Αἰσώπῳ „ἰδὲ δύο.“ εἶτα εἰσφέρεται πλακοῦς πολυσήσαμος. ὁ δὲ Ξάνθος γευσάμενος λέγει „κάλει τὸν ἀρτοκόπον. διὰ τί ὁ πλακοῦς οὔτε μέλι οὔτε σταφίδας ἔχει;“ ὁ ξένος πάλιν „δέσποτα, καὶ ὁ πλακοῦς καλὸς καὶ οὐδὲν τῷ δείπνῳ λείπει· μὴ εἰκῇ τύψῃς τοὺς δούλους.“ ὁ δὲ Ξάνθος νεύει τῷ Αἰσώπῳ „ἰδοὺ τρίτα.“ ὁ δὲ „ἀνέχω“ φησί. ἀναστάντων οὖν αὐτῶν ἀπὸ τοῦ δείπνου κρεμᾶται ὁ Αἴσωπος καὶ τύπτεται. καὶ ὁ Ξάνθος αὐτῷ φησι „καὶ ταῦτα μὲν ἔχεις. εἰ δὲ μὴ καλέσεις μοι ἄνθρωπον ἀπερίεργον, παιδεύσας διαρρήξω σε.“ τῇ δὲ ἐπαύριον ἔξω τῆς πόλεως ἀπελθὼν ἐζήτει εὑρεῖν ἄνθρωπον ἀπερίεργον. πολλοὺς οὖν βλέπων παροδίτας εἶδέ τινα τῇ μὲν θέᾳ ἀγροῖκον, τοῖς δὲ ἤθεσι πολιτικὸν ὄντα, ὀνάριον ἐλαύνοντα μεστὸν ξύλων καὶ τῇ λεωφόρῳ ὁδῷ ἐννενυχευκότα, κατὰ τὴν τῶν πολλῶν ἀπάντησιν ἱστάμενον καὶ πρὸς τὸ ὀνάριον λαλοῦντα. ὁ δὲ ἐπηκολούθει αὐτῷ, τοῦτον ἀπερίεργον στοχασάμενος. ὁ δὲ χωρικὸς τῷ ὀναρίῳ φησί „περιπάτει, ὅπως ταχέως φθάσωμεν εἰς τὴν πόλιν καὶ πραθῶσι τὰ ξυλάρια ἀσσαρίων δώδεκα, καὶ ἕξῃς σοὶ δύο εἰς χόρτον καὶ κριθήν, κἀγὼ δύο εἰς ἐμαυτόν, τὰ δὲ ὀκτὼ τηρήσωμεν εἰς ἑτέρας τύχας, μή τις ἀσθένεια ἐπιδράμῃ ἢ αἰφνίδιος γένηται χειμών.“ ὁ δὲ Αἴσωπος ἐν ἑαυτῷ „τί ταῦτα; ὀναρίῳ διαλέγεται. τίς μᾶλλον ἀπεριεργός ἐστιν; ἀσπάσομαι αὐτόν. χαῖρε.“ ἀντησπάσατο „χαῖρε“ εἰπών. Αἴσωπός φησι „πόσου τὰ ξυλάρια;“ ὁ χωρικὸς ἔφη „δώδεκα ἀσσαρίων.“ Αἴσωπος ἔφη „Ξάνθον οἶδας τὸν φιλόσοφον;“ ὁ δέ φησιν „οὔ, τέκνον.“ Αἴσωπος „διὰ τί;“ ὁ ξένος ἔφη „ἐγὼ ἀγροῖκός εἰμι, οὐδένα ἐπίσταμαι.“ Αἴσωπος „ἐκείνου“ φησί „δοῦλός εἰμι.“ ὁ ξένος ἔφη „καὶ τί ἠρώτησα, πότερον δοῦλος εἶ ἢ ἐλεύθερος; ἐμοὶ τί διαφέρει;“ Αἴσωπος ἔφη „ἀγαθά σοι γένοιτο, ἀκολούθει μοι, κἀγώ σοι δώσω τὸ ἀργύριον μετὰ καὶ ἀρίστου.“ ἀγαγὼν δ' αὐτὸν εἰς τὴν οἰκίαν καθεῖλε τὰ ξυλάρια δεδωκὼς τὸ τίμημα, καί φησιν „ὁ δεσπότης μου ἐρωτᾷ ἐπ' αὐτῷ ἀριστῆσαι.“ ὁ δὲ ἀγροῖκος οὐ περιεργασάμενος ἐπὶ ποίαν αἰτίαν καλεῖται, εἰσελθὼν σὺν

6. τρίτι C, τρίτη aut τρίτην Schneiderus. ‖ 9. παιδεύσας] an πεδίσας vel πεδήσας? ‖ 13. ἐννενευκότα καὶ τὴν C. ‖ 18. ἀσαρίων C. ‖ ἕξῃς C. ‖ 22. τίς] ὡς C. ‖ 24. ιβ ἀσάρια C.

τῷ πηλῷ καὶ τοῖς ὑποδήμασιν οὕτως ἀνέπεσεν. ὁ δὲ Ξάνθος ἔφη „τίς οὗτος;“ Αἴσωπος ἔφη „ἄνθρωπος ἀπερίεργος.“ ἰδὼν δὲ αὐτὸν ἐκεῖνος ἀγροῖκον ὄντα λέγει τῇ γυναικί „κυρία, ὑποκρίθητί μοι, ἵνα δαμάσω τὸν Αἴσωπον. σὺ δὲ ἀναστᾶσα καὶ ὕδωρ εἰς λεκάνην βαλοῦσα πρόσφερε τῷ ξένῳ ὡς νίψουσα αὐτοῦ τοὺς πόδας· ἴσως εὐλαβηθεὶς φανῇ περίεργος καὶ ὁ Αἴσωπος δαρήσεται.“ ἡ δὲ θέλουσα μαστιγωθῆναι τὸν Αἴσωπον ὑπεκρίθη καὶ λαβοῦσα λέντιον προσέφερε τῷ ξένῳ τὴν λεκάνην. ὁ δὲ θεασάμενος καὶ γνοὺς ὅτι ἐστὶν ἡ οἰκοδέσποινα, φησὶ καθ' ἑαυτόν „πάντως τιμῆσαί με θέλει καὶ διὰ τοῦτο αὐτοχείρως μου νίπτει τοὺς πόδας.“ φησί „νίψον, κυρία,“ καὶ νιψάμενος ἀνέπεσεν. ὁ δὲ Ξάνθος φησί „δοθήτω τῷ ξένῳ πρῶτον οἰνόμελι.“ ὁ δὲ ξένος πρὸς ἑαυτόν „αὐτοὺς μὲν ἔδει πρῶτον πιεῖν· ἐπεὶ δὲ αὐτοῖς οὕτως δοκεῖ, οὐ περιεργάσομαι,“ καὶ λαβὼν ἔπιεν. ἀριστώντων δὲ αὐτῶν παρετίθει ἰχθῦς. ὁ δὲ Ξάνθος τῷ ξένῳ λέγει „φάγε.“ ὁ δὲ ὡς ἀδελφὸς ἤσθιε τοὺς ἰχθύας. ὁ οὖν Ξάνθος ἐπαφορμιζόμενος ἔφη τῷ μαγείρῳ „διὰ τί κακῶς ἤρτυσας; ἐκδυθήτω οὖν καὶ τυφθήτω.“ ὁ δὲ ἀγροῖκος καθ' ἑαυτὸν ἐλάλει „καλῶς ἕψηται καὶ οὐδὲν αὐτῷ λείπει· εἰ δὲ δίχα προφάσεως τὸν δοῦλον θέλει τύψαι, τί πρὸς ἐμέ;“ δαρέντος δὲ τοῦ δούλου καὶ τοῦ ξένου σιωπῶντος ὁ Ξάνθος ἠδολέσχει. μετὰ δὲ μικρὸν προσηνέχθη πλακοῦς. ὁ οὖν ξένος μηδέπω εἰδὼς ἤρξατο ψωμοὺς ποιεῖν ὡς πλίνθους καὶ ἐσθίειν. ἰδὼν δὲ αὐτὸν ὁ Ξάνθος οὕτως ἡδέως τρώγοντα ἀνέκραγε „τὸν ἀρτοκόπον μοί τις καλεσάτω,“ καὶ λέγει „διὰ τί, κατάρατε, ὁ πλακοῦς οὔτε μέλι οὔτε πέπερι ἔχει, ἀλλὰ καὶ ὤζησεν;“ ὁ δὲ ἔφη „εἰ ὠμός ἐστιν ὁ πλακοῦς, ἐμὲ δαῖρε· εἰ δὲ οὐ καλῶς ἤρτυται, τοῦτο οὐκ ἐμὸν τὸ αἴτιον, ἀλλὰ τῆς κυρίας βραδυνάσης δοῦναι τὴν ἄρτυσιν.“ ὁ δὲ Ξάνθος ἔφη „εἰ παρὰ τῆς γυναικός μου ἀμέλεια γέγονε, ζῶσαν αὐτὴν κατακαύσω.“ τῇ δὲ γυναικὶ ἔφη „συνυποκρίθητί μοι, ὅπως τυφθείη ὁ

4. σὺ] ἡ C. ‖ 5. προσέφερε C. ‖ ὡς νίψουσα Schneiderus, ἐνίψουσα C. ‖ 13. δοθήτω Schneiderus, δοθήσω C. ‖ 15. ἀριστώντων Schneiderus, ἀριστόντων C. ‖ 22. ἠδολέσχει] an ἠσχάλλει? certe Ξάνθου ἀσχάλλοντος καὶ οὐχ ἡδέως διακειμένου v. ‖ 24. ποιεῖν Schneiderus, πιεῖν C. ‖ 27. ὤζησεν Schneiderus, . . ξησεν C.

Αἴσωπος.“ καί φησιν „Αἴσωπε, ἄγε μοι κληματίδας καὶ ἄναψον εἰς τὸ μέσον.“ ὁ δὲ ἐνέγκας ἀνῆψε πυράν. φωνήσας δὲ τὴν γυναῖκα ἤνεγκεν εἰς τὸ μέσον, ὥστε δοκεῖν καυθῆναι, διεβλέπετο δὲ τὸν ἀγροῖκον, εἰ ἄρα ἐκπηδήσας κωλύσει αὐτὸν τοῦτο πρᾶξαι. ὁ δὲ ἀγροῖκος ἔλεγε καθ᾽ ἑαυτόν „αἰτίου μὴ παρόντος τί οὗτος θυμοῦται;“ καί φησι πρὸς αὐτόν „οἰκοδέσποτα, εἰ τοῦτο κέκρικας γενέσθαι, παρακαλῶ σε μικρὸν ἀνασχεῖν, ἕως κἀγὼ ἀπελθὼν ἐνέγκω μου τὴν γυναῖκα ἀπὸ τοῦ ἀγροῦ, ὅπως ἂν ὁμοῦ κατακαύσῃς τὰς δύο.“ ὁ δὲ Ξάνθος ἀκούσας καὶ θαυμάσας τὸ τοῦ ἀνδρὸς μεγαλόψυχον ἔφη πρὸς τὸν Αἴσωπον „ἴδε ἀληθῶς ἄνθρωπος ἀπερίεργος. Αἴσωπε, νενίκηκάς με, ἀρκεῖ τὸ λοιπὸν ἕως τούτου. ἀπὸ δὲ τοῦ νῦν πιστῶς καὶ εὐνοϊκῶς δούλευσόν μοι, ἵνα τύχῃς παρ᾽ ἐμοῦ ἐλευθερίας.“ ὁ δέ φησι „πάντως, οὐκέτι με μέμψῃ, δέσποτα.“

(11) Τῇ δὲ ἐπαύριον λέγει ὁ Ξάνθος τῷ Αἰσώπῳ „τῇ τακτῇ ὥρᾳ ἄπελθε εἰς τὸ βαλανεῖον καὶ βλέπε, ἐὰν οὐ πολυοχλῇ, ἵνα λούσωμαι.“ πορευομένου δὲ τοῦ Αἰσώπου ὑπήντησεν αὐτῷ στρατηγός, καὶ γνωρίσας, ὅτι τοῦ Ξάνθου ἐστίν, λέγει αὐτῷ „ποῦ πορεύῃ;“ ὁ δὲ Αἴσωπός φησιν „οὐκ οἶδα.“ δόξας δὲ ὁ στρατηγός, ὅτι καταγελᾷ αὐτοῦ, ἐκέλευσε βληθῆναι αὐτὸν εἰς τὴν φυλακήν. Αἴσωπος δὲ ἀπαγόμενος ἔφη „ὁρᾷς, κύριε, ὅτι καλῶς σοι ἀπελογήθην· μὴ προσδοκῶν ὑπήντηκά σοι, καὶ εἰς φυλακὴν ἄπειμι.“ ἐκπλαγεὶς οὖν ὁ στρατηγὸς εἰς τὸ εὐαπολόγητον αὐτοῦ παρῆκεν αὐτόν. ὁ δὲ Αἴσωπος παραγενόμενος εἰς τὸ βαλανεῖον εἶδε πλῆθος πολὺ τοῦ λαοῦ, πρὸς δὲ τὸ μέσον τῆς εἰσόδου κείμενον εἰκῇ λίθον, ἐν ᾧ ἕκαστος τῶν εἰσερχομένων καὶ ἐξερχομένων προσκόπτων κατηρᾶτο τὸν θήσαντα. εἷς δέ τις μεταθεὶς αὐτὸν εἰσῆλθε λούσασθαι· ὁ δὲ Αἴσωπος εἰς τὸν οἶκον ἐλθὼν λέγει τῷ κυρίῳ αὐτοῦ „εἰ κελεύεις, δέσποτα, λούθητι, ἕνα ἄνθρωπον εἶδον ἐν τῷ βαλανείῳ.“ καὶ ὁ Ξάνθος φησί „καλόν ἐστι τὸ εὐρύχωρον λούσασθαι· ἆρον τὰ πρὸς τὴν χρεῖαν.“ εἰσελθὼν οὖν ὁ Ξάνθος καὶ ἰδὼν τὸ πλῆθος τῶν λουομένων λέγει

12. τούτου] τουσου C, τοῦ νῦν vel τοῦδε Schneiderus. ‖ 13. τύχῃς Schneiderus, τύχῃ C. ‖ 17. πολυοχλεῖ Schneiderus, sed tum certe et εἰ. ‖ 18. λούσωμαι Schneiderus, λου.... C. ‖ 24. ἄπειμι Schneiderus, ἄφειμι C.

„Αἴσωπε, τί τοῦτο; οὐκ εἶπάς μοι ὅτι ἕνα μόνον ἄνθρωπον εἶδες;“ ὁ δὲ „καὶ μάλα“ φησί „εἶδον γὰρ τὸν λίθον τοῦτον πρὸ τῆς εἰσόδου κείμενον, πρὸς ὃν οἱ εἰσιόντες προσέκοπτον· εἷς δὲ μόνος προσκόψας ἄρας μετέθηκε πρὸς τὸ μηδένα προσκόπτειν. ἐκεῖνον οὖν προκρίνας τῶν ἄλλων ἐδήλωσά σοι τὴν ἀλήθειαν.“ Ξάνθος λέγει „οὐδὲν παρὰ τῷ Αἰσώπῳ ἀργὸν πρὸς ἀπολογίαν.“ λουσάμενος δὲ παρεγένετο ἐπὶ τὸ ἄριστον. καὶ μετὰ τὸ ἀριστῆσαι τῆς γαστρὸς νυξάσης ἐξῆλθε πρὸς ὑποχώρησιν. τοῦ δὲ Αἰσώπου παρεστῶτος ξέστου μεστοῦ ὕδατος ἐπιφερόμενος λέγει ὁ Ξάνθος „Αἴσωπε, δύνασαί μοι εἰπεῖν, διὰ τί ἔθος τοῖς ἀνθρώποις, ὅταν καθεζώμεθα εἰς τὰ ἀναγκαῖα, πυκνῶς τὰ ἑαυτῶν βλέπειν ἀφοδεύματα;“ Αἴσωπος εἶπε „κατὰ τοὺς παλαιοὺς σοφός τις διὰ σπατάλην πολὺν χρόνον ἐκαθέζετο εἰς τὰ ἀναγκαῖα, μέχρις οὗ καθεζόμενος τὰς ἰδίας ἔχεσε φρένας. ἀπ᾽ ἐκείνου οὖν οἱ ἄνθρωποι φοβούμενοι, μὴ καὶ αὐτοὶ τὰς ἰδίας χέσωσι φρένας, πυκνῶς τὰ ἴδια ἀφοδεύματα βλέπουσιν. ἀλλὰ σύ, δέσποτα, μηδὲν ἀγωνιάσῃς· οὐ γὰρ ἔχεις φρένας.“

(12) Τῇ δὲ ἐπαύριον τοῦ Ξάνθου μετὰ φίλων ἐπὶ πότον ἀνακλιθέντος καὶ τοῦ πότου ἐπικρατοῦντος ἐγένοντο προβλήματα ἱκανὰ μεταξύ. τοῦ δὲ Ξάνθου ἀρχομένου συνταράσσεσθαι, ἐπιγνοὺς ὁ Αἴσωπος ὅτι μέλλει μάχην ποιεῖν λέγει „δέσποτα, Διόνυσος τὸ οἰνικὸν πόμα τρεῖς κράσεις τῷ ἀνθρώπῳ διὰ πόματος ποιήσασθαι εἶπε, τὴν μὲν πρώτην ἡδονῆς εἶναι, τὴν δὲ δευτέραν ἀφροσύνης, τὴν δὲ τρίτην ὕβρεως. διό, δέσποτα, πιόντες καὶ εὐφρανθέντες παραχωρήσατε ἐν οἷς δεδώκατε ἀπόδειξιν, ἤγουν ἅπαντα καταλείψατε.“ ὁ δὲ Ξάνθος μεθύων φησί „σιώπα, τοῦ ᾅδου σύμβουλε.“ ὁ δὲ Αἴσωπος εἶπεν „ἔκδεξαι καὶ εἰς ᾅδην καταβαίνεις.“ τὶς δὲ τῶν σχολαστικῶν ἰδὼν τὸν Ξάνθον συμπεφυρμένον ὅλον ὑπὸ τῆς μέθης λέγει „καθηγητά, μῶν πάντα δυνατὰ ἀνθρώπῳ;“ ὁ Ξάνθος ἔφη „πανοῦργον τὸ ζῶον καὶ δυνατὸν ἐν πᾶσι τὰ ὑπὲρ λόγον πράττειν.“ ὁ δὲ σχολα-

1. ὅτι addidi. ‖ 4. μόνος] μὲν C. ‖ 9. παρεστῶτος — ἐπιφερόμενος obscura sunt, nec quicquam auxilii praebet v. ‖ 11. εἰπεῖν addidi. ‖ ὅσαν C. ‖ 12. βλέπομεν C. ‖ 19. φίλου C. ‖ 23. τὸ οἰνικὸν supra ω et ῶ addito C: εὑρὼν add. Schneiderus.

στικὸς ἔφη „δύναται ἄνθρωπος τὴν θάλασσαν ἐκπιεῖν;“ Ξάνθος λέγει „ναί φημι· κἀγὼ γὰρ αὐτὸς τὴν θάλασσαν δύναμαι ἐκπιεῖν.“ καὶ ὁ σχολαστικός „ἐὰν δὲ μὴ ἐκπίῃς, τί;“ ὁ δὲ Ξάνθος ὅλος νενικημένος ὢν ὑπὸ τοῦ οἴνου ἔφη „τίθημι τὰς συνθήκας ὑπὲρ παντὸς τοῦ βίου μου.“ ἐπὶ τούτοις δὲ προβάλλοντες τοὺς δακτυλίους ἐκύρωσαν τὰς συνθήκας. πρωίας δὲ γενομένης ἀναστὰς ὁ Ξάνθος καὶ τὴν ὄψιν νιπτόμενος, μὴ ἰδὼν δὲ τὸν δακτύλιον ἐζήτει. καί φησιν „Αἴσωπε, τί μοι γέγονεν ὁ δακτύλιος;“ ὁ δὲ Αἴσωπος „οὐκ οἶδα“ φησίν „ἀλλὰ τοῦτο γινώσκω, ὅτι ξένος ἐγένου τοῦ βίου σου.“ Ξάνθος ἔφη „τί λέγεις;“ Αἴσωπος ἔφη „ἐπὶ τῷ χθὲς πότῳ συνθήκας ἔθου, τὴν θάλασσαν ἐκπιεῖν ὑπὲρ ὅλου τοῦ βίου σου, καὶ τὸν δακτύλιον προεβάλλου.“ καὶ ὁ Ξάνθος „πῶς ἄρα ἐγὼ δύναμαι τὴν θάλασσαν ἐκπιεῖν; ἀλλὰ δεόμαί σου, εἰ δυνατὸς εἶ, διὰ τῆς ἐνούσης σοι ἐμπειρίας βοήθησόν μοι, ἵνα διὰ προφάσεώς τινος νικήσω ἢ λύσω τὰς συνθήκας.“ ὁ δὲ Αἴσωπος ἔφη „νικῆσαι μὲν οὐ δυνατόν, λυθῆναι δὲ ποιήσω.“ ὁ Ξάνθος λέγει „δός μοι γνώμην, ποίῳ λόγῳ ἢ τρόπῳ.“ Αἴσωπος ἔφη „ὅταν ἔλθῃ ὁ συνθηκοφύλαξ ἅμα τῷ ἀντιδίκῳ σου, λέγοντες, τὴν θάλασσαν εἶπας ἐκπιεῖν, μὴ ἀρνοῦ, ἀλλὰ ἅπερ συνέθου ἐν οἴνῳ, ταῦτα καὶ νήφων λέγε, καὶ κέλευσον στρώματα παρὰ τὸν αἰγιαλὸν τεθῆναι καὶ κραββάτους καὶ τράπεζαν καὶ παῖδας πιγκέρνας παραστῆναι. ὅταν δὲ ἴδῃς, ὅτι πάντα πεπλήρωται, τοῦ ὄχλου ἐπὶ τὴν θέαν συνδραμόντος, ἀναπεσὼν κέλευσον πλησθῆναι σκύφους ἐκ τῆς θαλάσσης, καὶ λαβὼν ἕνα ἐν ταῖς χερσί σου εἰπὲ δημοσίᾳ πρὸς τὸν συνθηκοφύλακα· πῶς ἄρα τεθείκαμεν τὰς συνθήκας; καὶ τότε ἐρεῖ σοι· ἵνα τὴν θάλασσαν ἐκπίῃς.“ ὁ δὲ Ξάνθος τῷ Αἰσώπῳ ἔφη „μή τι πλέον ἐρεῖ τούτου;“ ὁ δὲ „οὔ“ φησί „ἀλλὰ τοῦτο μαρτύρομαι. λέγε, ἐπειδὴ παρ' αὐτῶν ἀντίφρασιν ἔχεις, δέξασθαι, καὶ δημηγόρησον παρρησίᾳ· ἄνδρες πολῖται τιμιώτατοι καὶ φιλούμενοι περὶ τοῦ Διός τε καὶ Ἀπόλλωνος, ἔστι κἀμοὶ πρὸς ὑμᾶς εἰπεῖν εὔνοιάν τινα, ἥτις κἀμοὶ ὠφελία γενήσεται μεγίστη καὶ ἄνεσις.

6. δακτυλίους Schneiderus, δακτύλους C. ‖ 8. τὸν] τὸ C. ‖ 15. ἐνούσης Schneiderus, εὐνοούσης C. ‖ 30. τοῦτο C. ‖ παρ'] γὰρ παρ' C. ‖ 34. ὠφέλεια Schneiderus.

πάντως οἴδατε, ὅτι πολλοί εἰσι ποταμοὶ καὶ χείμαρροι ἀένναοι, οἵτινες ἐν τῇ θαλάσσῃ ἐπιχέονται καὶ διαρρέουσιν. ἐγὼ δὲ συνεθέμην τοῦ μόνην τὴν θάλασσαν ἐκπιεῖν, οὐ μὴν δὲ καὶ τοὺς ποταμούς, οἵτινες ἐπιρρέουσιν εἰς τὴν θάλασσαν. οὕτως οὖν ὁ σχολαστικὸς ἀπελθέτω καὶ τὰ ἐν αὐτῇ εἰσερχόμενα ὕδατα ἐπιστρεψάτω, κἀγὼ τότε τὴν θάλασσαν ἐκπίω. καὶ οὕτως τὸ ἀδύνατον ἀναλυθήσεται." ὁ δὲ Ξάνθος ἐπιγνοὺς τὸ συμφέρον καὶ περιχαρὴς γενόμενος χαρᾷ διεχύθη. ὁ δὲ τὴν συνθήκην θεὶς ἅμα τοῖς ἐντιμοτέροις τῆς πόλεως ἐξεδέχετο τὸν Ξάνθον. προελθόντι δὲ τῷ Ξάνθῳ ἐζήτει ἐκβιβασθῆναι τὴν συνθήκην. ὁ δὲ Αἴσωπος εἶπε „σὺ μὲν δίδου τὸν σὸν βίον τῷ δεσπότῃ μου· αὐτῷ γὰρ ἤδη ἡμίκενος γέγονε ἡ θάλασσα." ὁ σχολαστικὸς ἔφη „ἐμὸς εἶ, Αἴσωπε, οὐκ ἔτι γὰρ Ξάνθου." ὁ δὲ Ξάνθος ἐκέλευσε κλίνην πρὸς τὸν αἰγιαλὸν στρωθῆναι καὶ τράπεζαν τεθῆναι. τὸ δὲ πλῆθος ἅπαν τῆς πόλεως συνέδραμεν ἰδεῖν. τοῦ δὲ Ξάνθου ἀνακλιθέντος ἐπὶ κραββάτῳ δραμὼν Αἴσωπος καὶ σκύφον ἀναλαβὼν καὶ πλήσας ἐκ τῆς θαλάσσης ἐπέδωκε τῷ Ξάνθῳ. ὁ δὲ λαβὼν λέγει τῷ συνθηκοφύλακι „εἰπὲ δημοσίᾳ, πῶς τεθείκαμεν τὰς συνθήκας;" ὁ δὲ λέγει „ἵνα τὴν θάλασσαν ἐκπίῃς." ὁ δὲ Ξάνθος „μὴ ἕτερόν τι;" ὁ δὲ „οὔ" φησί. Ξάνθος ἔφη „ἄνδρες πολῖται, πολλοὶ ποταμοὶ ἐν τῇ θαλάσσῃ ὕδωρ εἰσάγουσιν. ἀποκλεισάτω οὖν ὁ ἀντίδικός μου τὰ τούτων στόμια, κἀγὼ νικήσω μόνην ἐκπίων τὴν θάλασσαν." ἀνέκραξαν δὲ ἅπαντες εὐφημοῦντες τὸν Ξάνθον, ὁ δὲ σχολαστικὸς πεσὼν πρὸς τοὺς πόδας τοῦ Ξάνθου λέγει „μέγας εἶ, καθηγητά, νενίκηκάς με, παρακαλῶ λυθῆναι τὰς συνθήκας." τοῦ οὖν ὄχλου συμπαρακαλοῦντος ἐπείσθη ὁ Ξάνθος λυθῆναι τὰς συνθήκας. ἐλθόντος δὲ αὐτοῦ εἰς τὴν οἰκίαν, προσελθὼν αὐτῷ ὁ Αἴσωπος λέγει „ὁ πάντα σου τὸν βίον περισώσας ἀνάξιός εἰμι τυχεῖν ἐλευθερίας;" ὁ δὲ Ξάνθος ὑβρίσας ἐξεδίωξεν αὐτὸν λέγων „τί; μὴ γὰρ τοῦτο καὶ ἐγὼ οὐκ ἐνεθυμούμην; ἔξελθε οὖν πρὸ τοῦ πυλῶνος, καὶ ἐὰν ἴδῃς δικόρωνον, ἀνάγγειλόν μοι, ὅτι καλὸν τὸ σημεῖον· εἰ δὲ μονοκόρωνον, κακὴ ἡ οἰωνοσκοπία." ἐξελθὼν δὲ ὁ Αἴσωπος καὶ ἰδὼν

13. ἐμὸς Schneiderus, ἐμὸν C.

κατὰ τύχην πρὸ τοῦ πυλῶνος, εἰσελθὼν ἀπήγγειλε τῷ Ξάνθῳ καὶ προσελθεῖν παρῄνει. ἐν δὲ τῷ ἐξέρχεσθαι αὐτὸν ἡ μία ἀπέπτη. ὁ δὲ Ξάνθος ἰδὼν τὴν μίαν ἔφη „οὐκ εἶπάς μοι, κατάρατε, ὅτι δικόρωνον εἱστήκει πρὸ τοῦ πυλῶνος;" Αἴσωπος ἔφη „ναί, ἀλλὰ μία ἀπέπτη." ὁ δὲ Ξάνθος φησί „ἔθος ἐστί σοι, δράπετα, τοῦ χλευάζειν με." καὶ εὐθέως ἐκέλευσεν αὐτὸν ἐκδυθέντα τύπτεσθαι. τυπτομένου δὲ αὐτοῦ ἐλθών τις ἐπὶ δεῖπνον μέγα ἐκάλει τὸν Ξάνθον, ὁ δὲ Αἴσωπος ἔφη „οἴμοι ὁ τάλας, ἐγὼ ἰδὼν τὸ δικόρωνον ἐμαστιγώθην, σὺ δὲ μονοκόρωνον ἰδὼν ἐπὶ τρυφὴν πορεύῃ. οὐκοῦν μάτην αἱ οἰωνοσκοπίαι καὶ ὀρνεοσκοπίαι."

(13) *Ὁ δὲ Ξάνθος λέγει αὐτῷ „ποίησον ἡμῖν ἄριστον καλόν· σχολαστικοὺς γὰρ κέκληκα." ὁ δὲ Αἴσωπος τὰ πρὸς τὴν ἑστίασιν αὐτῶν εὐτρεπίσας καὶ τῆς κυρίας αὐτοῦ ἐπὶ τῆς κλίνης ἀνακειμένης ἔφη πρὸς αὐτήν „πρόσεχε τῇ τραπέζῃ, κυρία μου, μή πως ἐλθοῦσα ἡ κύων καταφάγῃ τι τῶν ἐδεσμάτων." ἡ δὲ πρὸς αὐτόν „ἄπελθε μηδὲν περὶ τούτων φροντίζων· ἐμοῦ γὰρ καὶ ὁ κῶλος ὀφθαλμοὺς ἕξει." τοῦ δὲ Αἰσώπου ἕτερον χρόνον ἀσχολουμένου καὶ πάλιν ἐπὶ τῆς τραπέζης ἐλθόντος, εὗρε τὴν κυρίαν αὐτοῦ κοιμωμένην καὶ τὰ ὄπισθεν αὐτῆς ἐπὶ τῆς τραπέζης ὑπάρχοντα, καὶ φοβηθεὶς μή πως ἡ κύων ἀνελθοῦσα ἀχρειώσῃ τὴν τράπεζαν, ἀναμνησθεὶς καὶ τῆς κυρίας αὐτοῦ τὸν λόγον, ἀνακομβώσας αὐτῆς τοὺς χιτῶνας καὶ τὰ ὄπισθεν αὐτῆς γυμνώσας εἴασεν αὐτὴν κεῖσθαι οὕτως. τοῦ δὲ Ξάνθου σὺν τοῖς σχολαστικοῖς ἐλθόντος ἀνῆλθον ἐπὶ τὸ ἄριστον. ἰδόντες δὲ αὐτὴν γεγυμνωμένην καὶ ὑπνώττουσαν, αἰσχυνθέντες ἀπέστρεψαν τὰς ὄψεις αὐτῶν. ὁ δὲ Ξάνθος ἔφη πρὸς τὸν Αἴσωπον „τί τοῦτο, ὦ κατάρατε;" ὁ δέ φησι „δέσποτα, ἐμοῦ πρὸς τὴν θεραπείαν ὑμῶν ἠσχολημένου εἶπον τῇ κυρίᾳ μου, προσέχειν τῇ τραπέζῃ, μή πως ἀνελθοῦσα ἡ κύων καταφάγῃ τι. αὐτὴ δὲ ἔφη πρός με· ἄπελθε μηδὲν περὶ τούτων φροντίζων· ἐμοῦ γὰρ καὶ ὁ κῶλος ὀφθαλμοὺς ἕξει. ἄρτι οὖν, ὡς ὁρᾷς, κύριέ μου, ὑπνοῖ. ἐγὼ δὲ ἐγύμνωσα αὐτήν, ὅπως οἱ τοῦ κώλου*

2. *προσελθὼν* C. ‖ *ἐν δὲ* Schneiderus, *ἐνὶ* C. ‖ malim *εἰσέρχεσθαι.* ‖ 17. *τούτων* Schneiderus, *τοῦτο* C. ‖ 19. *ἕτερον χρόνον*] *ἐπὶ χρόνον* aut *ἐφ᾽ ἑτέρᾳ χρείᾳ* Schneiderus. ‖ 26. *ἀνῆλθον* vix sanum.

αὐτῆς ὀφθαλμοὶ ὁρῶσι τὴν τράπεζαν.“ καὶ ὁ Ξάνθος „πλειστάκις με, ὦ δράπετα, ἠχρείωσας, τούτου δὲ ἀχρειότερον οὔπω εἰργάσω, αἰσχύνας κἀμὲ καὶ τὴν κυρίαν σου. ἀλλὰ διὰ τοὺς κεκλημένους οὐκ ὀργισθήσομαι· εὑρήσω γὰρ ὥραν ὅτε μαστιγώσω καὶ σφοδρῶς ἀπολέψω σε.“

(14) *Μετ' οὐ πολὺ δὲ ῥήτορας καὶ φιλοσόφους τοῦ Ξάνθου καλέσαντος ἔφη τῷ Αἰσώπῳ „πρὸ τοῦ πυλῶνος σταθεὶς μὴ ἐάσῃς τινὶ τῶν ἰδιωτῶν ἀνδρῶν εἰσελθεῖν ἐν τῷ οἴκῳ μου, ἀλλὰ μόνους τοὺς φιλοσόφους.“ τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας ὁ Αἴσωπος τὸν τοῦ οἴκου πυλῶνα ἐκαθέζετο εἴσω. ἐλθόντος δέ τινος τῶν κεκλημένων καὶ κρούσαντος τῷ πυλῶνι ὁ Αἴσωπος ἔφη „τί σείει ὁ κύων;“ ὁ δὲ ἡγησάμενος, ὅτι κύνα αὐτὸν ἀπεκάλεσεν, ὀργισθεὶς ἀνεχώρησεν. οὕτως οὖν τοῦ Αἰσώπου πολλοῖς διαλεγομένου ἀνεχώρουν ἅπαντες, ὕβριν τὸν λόγον νομίζοντες εἶναι. εἷς δὲ ἐλθὼν καὶ τῷ πυλῶνι κρούσας, ἔφη αὐτῷ ὁ Αἴσωπος „τί σείει ὁ κύων;“ ὁ δέ φησι „τὴν κέρκον.“ ὁ δὲ Αἴσωπος τοῦτον ἀκούσας καλῶς ἀπολογησάμενον, ἀνοίξας εἰσήγαγεν αὐτόν. ἀπελθὼν δὲ πρὸς τὸν κύριον αὐτοῦ ἔφη „δέσποτα, ἕτερος φιλόσοφος οὐκ ἦλθε τοῦ συνεστιαθῆναί σοι εἰ μὴ οὗτος μόνος.“ ὁ δὲ Ξάνθος ἐλυπήθη πάνυ, δοκῶν ὅτι παρελογίσαντο αὐτόν. τῇ οὖν ἐπαύριον ἐλθόντων αὐτῶν ἐν τῇ διατριβῇ, λέγουσι τῷ Ξάνθῳ „καθηγητά, ὡς ἔοικεν ἐπιθυμῶν τοῦ ἐξουδενῆσαι ἡμᾶς καὶ αἰδούμενος ἔστησας πρὸ τοῦ πυλῶνος τὸν σαπρὸν Αἴσωπον, ὅπως ὑβρίσῃ καὶ κύνας ἡμᾶς ἀποκαλέσῃ.“ καὶ ὁ Ξάνθος „ὅραμα τοῦτο ἢ ἀληθές;“ οἱ δὲ σχολαστικοί „εἰ οὐ κοιμώμεθα, ἀλήθειά ἐστι,“ καὶ ὁ Ξάνθος „Αἴσωπόν τίς μοι καλεσάτω.“ τούτου δὲ ἐλθόντος λέγει ὁ Ξάνθος „λέγε μοι, κάθαρμα, διὰ τί τοὺς ἐμοὺς φίλους καὶ φοιτητὰς ἀντὶ τοῦ μετὰ πάσης τιμῆς εἰσαγαγεῖν σε αὐτοὺς ἐν τῷ οἴκῳ μου τοῦ συνευφρανθῆναί μοι ἐξουθένησας καὶ ὕβρισας καὶ ἀτίμως αὐτοὺς ὑπέστρεψας;“ καὶ ὁ Αἴσωπος „δέσποτα, οὐχὶ σύ μοι εἴρηκας· μὴ ἐάσῃς τινὶ τῶν ἀνοήτων ἀνδρῶν εἰσελθεῖν*

5. *ἀπολέψω* aut *ἀπολέσω* Schneiderus, *ἀπολέλω* C. ‖ 12. *τὸν πυλῶνα* Schneiderus. ‖ *τί σείει* v, *τις εἶ* hic et infra C. ‖ 14. *πολλοῖς* aut *πρὸς πολλοὺς* Schneiderus, *πολλοὺς* C. ‖ 23. *ἐξουδενίσαι* et *ἐξουθένισας* infra Schneiderus. certe per *θ* scribere solet auctor. ‖ 31. *συνεφρανθῆναι* C. ‖ *ἀτίμους* C. ‖ 33. *σύ*

ἐν τῷ οἴκῳ μου, εἰ μὴ ῥήτορας καὶ φιλοσόφους;" καὶ ὁ Ξάνθος „ναί" φησί „καὶ τί, μορμολύκιον, οὗτοι οὐκ εἰσὶ τῶν σοφῶν;" ὁ δὲ Αἴσωπος „οὐχί, ἀλλὰ καὶ πάνυ ἰδιῶται ὑπάρχουσι. τῷ γὰρ πυλῶνι τῷ σῷ προσκεκρουκότες ἐμοῦ ἔσωθεν ὄντος, ἠρώτων αὐτούς· τί σείει ὁ κύων; καὶ οὐδεὶς ἐξ αὐτῶν ἐπέγνω τῷ ῥήματι τούτῳ τῷ συνεστιαθέντι τῷ κυρίῳ αὐτοῦ." καὶ οὕτως τοῦ Αἰσώπου ἀπολογουμένου ἔφησαν αὐτῷ ὀρθῶς λέγειν.

(15) Μεθ' ἡμέρας δέ τινας ὁ Ξάνθος ἅμα τῷ Αἰσώπῳ ἐπὶ τὰ μνήματα παρεγένετο καὶ τὰ ἐν τοῖς λάρναξιν ἐπιτάφια γράμματα ἀναγινώσκων ἐτέρπετο. ὁ δὲ Αἴσωπος ἰδὼν ἐφ' ἑνὶ λάρνακι ἀσύμφωνα στοιχεῖα κεχαραγμένα, Α. Β. Δ. Ο. Ε. Θ. Χ., ἐπιδείξας τῷ Ξάνθῳ φησὶ πρὸς αὐτόν „τί ἐστιν ἄρα ταῦτα, ὦ δέσποτα;" ὁ δὲ ἐπιμελῶς καταμαθὼν καὶ πολλὰ στρεβλωθεὶς καὶ βιασθεὶς οὐκ ἠδυνήθη τὴν τούτων λύσιν ἐξευρεῖν, καί φησιν „Αἴσωπε, ἠπόρησα, σὺ δὲ τὸ ζήτημα, εἰ δύνασαι, διασάφησον." ὁ δὲ πρὸς αὐτόν „δέσποτα, ἐὰν διὰ ταύτης τῆς στήλης θησαυρὸν χρυσίου σοι δώσω, τί μοι χαρίζῃ;" ὁ δὲ Ξάνθος ἀκούσας λέγει „θάρσει, Αἴσωπε, λήψῃ τὴν ἐλευθερίαν σου καὶ τὸ ἥμισυ τοῦ χρυσίου." ὁ δὲ Αἴσωπος ἀκούσας, ὄστρακον λαβὼν ἀνεπήδησεν ἀπὸ τῆς στήλης βήματα τέσσαρα καὶ ὀρύξας τὸν θησαυρὸν ἔλαβε καὶ τῷ δεσπότῃ προσήνεγκε καί φησι „δέσποτα, δός μοι τὴν ἐπαγγελίαν." ὁ δὲ Ξάνθος „οὐ δώσω" ἔφη „ἐὰν μή μοι φράσῃς, ποίᾳ ἐπινοίᾳ τὸν θησαυρὸν εὗρες· τὸ γὰρ μαθεῖν πολὺ τοῦ εὑρήματος τιμιώτερον." Αἴσωπος ἔφη „δέσποτα, ὁ τὸν θησαυρὸν καταθέμενος ὡς φιλόσοφος τὰ ἑπτὰ ἐχαράξατο στοιχεῖα, ἃ λέγει Α ἀποβὰς, Β βήματα, Δ τέσσαρα, Ο ὀρύξας, Ε εὑρήσεις, Θ θησαυρὸν, Χ χρυσίου." Ξάνθος λέγει „ἐπείπερ τοιοῦτος εἶ πανοῦργος καὶ συνετός, οὐ τεύξῃ τῆς ἐλευθερίας." ὁ δὲ λέγει πρὸς αὐτόν „δέσποτα, ἀναγγελῶ τὸ χρυσίον ἀποδοθῆναι βασιλεῖ τῶν Βυζαντίων Διονυσίῳ." καὶ ὁ Ξάνθος „πόθεν αὐτὸ γινώσκεις;" Αἴσωπος ἔφη „ἐκ τῶν γραμμάτων ἐπέγνων, ὡς λέγει Α ἀποδὸς, Β βασιλεῖ, Δ Διονυσίῳ, Ο ὃν, Ε εὗρες, Θ θησαυρὸν, Χ χρυ-

Schneiderus, σοὶ C. ‖ 6. exspectes τὸ ῥῆμα, πλὴν τοῦ συνεστιαθέντος τῷ κυρίῳ μου vel μόνου. ‖ 8. αὐτῷ] immo αὐτόν.

σίου.“ ὁ δὲ Ξάνθος ἀκούσας τοῦ βασιλέως εἶναι τὸ χρυσίον λέγει „λαβὼν τὸ ἥμισυ τοῦ εὑρέματος ἡσύχασον.“ Αἴσωπος ἔφη „οὐχὶ σύ μοι χαρίζῃ, ἀλλ᾽ ὁ τὸ χρυσίον καταθέμενος. ὅμως ἄκουε· Α ἀνελόμενοι, Β βαδίσαντες, Δ διέλεσθε, Ο ὃν, Ε εὕρατε, Θ θησαυρὸν, Χ χρυσίον.“ ὁ δὲ Ξάνθος „δεῦρο“ φησίν „εἰς τὴν οἰκίαν, ἵνα καὶ τὸ χρυσίον διελώμεθα καὶ τὴν ἐλευθερίαν λάβῃς.“ ἐλθόντων δὲ αὐτῶν καὶ φοβούμενος ὁ Ξάνθος τὴν τοῦ Αἰσώπου γλῶσσαν ἐκέλευσε βληθῆναι αὐτὸν εἰς τὴν φυλακήν, ὁ δὲ Αἴσωπός φησι „τοιαῦταί εἰσιν αἱ τῶν φιλοσόφων ὑποσχέσεις· οὐ μόνον γὰρ τὴν ἐλευθερίαν μου οὐ λαμβάνω, ἀλλὰ καὶ εἰς φυλακὴν προστάσσεις με ἐμβληθῆναι. ἔχε τὸ χρυσίον, μόνον δός μοι τὴν ἐλευθερίαν.“ ὁ Ξάνθος ἔφη „γενναίως καὶ καλῶς λέγεις, ἵνα τῆς ἐλευθερίας τυχὼν ἰσχυρότερός μοι κατήγορος γένῃ.“ Αἴσωπος ἔφη „ἄκων ἔχεις τοῦτο εἰς ἐμὲ πρᾶξαι.“

(16) Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον συνέβη τι σημεῖον ἐν τῇ Σάμῳ γενέσθαι. πανδήμου γὰρ ἑορτῆς ἀγομένης καὶ τῶν θυμελικῶν παιζομένων ἄφνω ἀετὸς καταπτὰς, τὸν δημόσιον ἁρπάσας δακτύλιον ἔρριψεν αὐτὸν εἰς δούλου κόλπον. οἱ δὲ Σάμιοι θροηθέντες ἐν πολλῷ γεγόνασιν ἀγῶνι περὶ τοῦ τοιούτου σημείου. ἐκκλησίαν οὖν συναθροίσαντες ἤρξαντο δέεσθαι τοῦ Ξάνθου ὡς πρωτοπολίτου καὶ φιλοσόφου, ὅπως ἂν διαλύσῃ αὐτοῖς τὸ ζήτημα τοῦ σημείου. ὁ δὲ Ξάνθος διαπορῶν, αἰτήσας διωρίαν εἰσῆλθεν εἰς τὸν ἴδιον οἶκον. ἐν πολλῇ δὲ γενόμενος ἀθυμίᾳ ἔμελλεν ἑαυτὸν διαχειρίσασθαι, μὴ δυνάμενος τὸ ζήτημα διαλῦσαι. ὁ οὖν Αἴσωπος γνοὺς ὡς φιλόσοφος, μᾶλλον δὲ καὶ φιλοδέσποτος, προσελθὼν ἔφη τῷ Ξάνθῳ „δέσποτα, τί σύννους εἶ καὶ οὕτω δυσφημεῖς, ὥστε κινδυνεύεις; ἐμοὶ τοῦτο προσανάθου καὶ μὴ δυσχέραινε. ἕωθεν δὲ προσελθὼν εἰπὲ τοῖς Σαμίοις· οὐκέτι εἰμὶ ἐγὼ σημειολύτης οὐδὲ ὀρνεοσκόπος, οἰκέτην δὲ ἔχω πολύπειρον, καὶ αὐτὸς ὑμῖν τὸ σημεῖον διαλύσει. καὶ ἐὰν μὲν ἐπιτύχω, σὺ ἕξεις τὴν δόξαν, εἰ δ᾽ ἀποτύχω, ὑπὲρ δόξης δεσπότου ἐγὼ καθυβρισθήσομαι.“ πεισθεὶς οὖν ὁ Ξάνθος τῷ Αἰσώπῳ ἕωθεν προθύμως ὑπήντησεν εἰς τὸ θέατρον,

5. εὕρατε] εὕρατε ἐνθάδε C. ‖ 6. διελώμεθα Schneiderus, σου ἑλώμεθα C. ‖ 11. μου οὐ] μου C, οὐ Schneiderus. ‖ 24. διωρίαν Schneiderus, διορίαν C.

καὶ στὰς ἐν τῷ μέσῳ ἔφη τοὺς λόγους, οὓς ὑπέδειξεν αὐτῷ ὁ Αἴσωπος. οἱ δὲ εὐθέως παρεκάλουν τὸν Αἴσωπον ἐλθεῖν. τοῦ δὲ ἐληλυθότος καὶ στάντος εἰς τὸ μέσον κατανοήσαντες οἱ Σάμιοι τὴν τούτου μορφήν, ἐμπαίζοντες αὐτὸν ἔλεγον „αὕτη ἡ ὄψις σημειολυτεῖ; ἐκ τοῦ σαπροῦ τούτου τι ἀγαθὸν ἀκουσώμεθα;" καὶ ἤρξαντο γελᾶν. ὁ δὲ Αἴσωπος ἐφ' ὑψηλοῦ τόπου στὰς καὶ τὴν χεῖρα τῷ ὄχλῳ κατασείσας ᾔτησεν ἡσυχίαν γενέσθαι, σιγῆς δὲ γενομένης ἔφη „ἄνδρες Σάμιοι, τί μου σκώπτετε τὴν θέαν; οὐκ εἰς τὴν ὄψιν δεῖ ἀποβλέπειν, ἀλλ' εἰς τὴν διάνοιαν· πολλάκις γὰρ κακίστην μορφὴν ἡ φύσις δέδωκε καὶ σώφρονα νοῦν· οὐδ' εἰς τὴν ἀρετὴν τῶν κεραμίων σκοπεῖν δεῖ, ἀλλ' εἰς τὴν ἔνδοθεν τοῦ οἴνου γεῦσιν." ταῦτα οὖν καὶ τὰ τοιαῦτα ἀκούσαντες οἱ ὄχλοι διεπύππυζον εἰς ἀλλήλους λέγοντες „Αἴσωπε, δυνάμενος λέγειν τῇ πόλει λέγε." ὁ δὲ γνοὺς ἑαυτὸν ἐπαινούμενον μετὰ παρρησίας ἔφη „ἄνδρες Σάμιοι, εὐκαταφρονήτους ἡ ἀμορφία εἴωθε ποιεῖν τὸν νοῦν ἔχοντας σώφρονα καὶ ὄντας εὐγενεῖς τῷ λαλεῖν· καὶ γὰρ ἐν ἀκάνθαις φύεται κάλλιστα ῥόδα." οἱ δὲ ὄχλοι πεισθέντες αὐτοῦ τῇ πιθανολογίᾳ εἶπον „θάρσει, Αἴσωπε, καὶ εὐψύχει λέγων· καλῶς λέγεις." ὁ δὲ Αἴσωπος σιγὴν αἰτήσας εἶπεν „ἄνδρες τίμιοι, ἐπεὶ ἡ τύχη φιλόκαλος οὖσα ἀγῶνα δόξης τέθεικε δεσπότῃ τε καὶ δούλῳ, καὶ ὁ μὲν δοῦλος ἐὰν ἀμείνω τοῦ δεσπότου φανῇ, τὰς διὰ μαστίγων λήψεται ὕβρεις. ἐὰν οὖν μοι δι' ἐλευθερίας τὴν παρρησίαν χαρίσησθε, μετὰ πάσης ἀδείας κἀγὼ φράσω ἅπαντα τὰ ζητούμενα." οἱ δὲ ὄχλοι παμπληθεί τε καὶ ὁμοθυμαδὸν ἔκραζον „ἐλευθέρωσον Αἴσωπον, ὑπάκουσον Σαμίοις, χάρισαι τῇ πόλει τὴν ἐλευθερίαν." ὁ δὲ Ξάνθος „οὐκ ἐλευθερῶ δοῦλον" ἔφη „ὀλίγον μοι συγκαταζήσαντα χρόνον." ὁ δὲ πρύτανις ἔφη „ἐὰν μὴ τῷ πλήθει ὑπακούσῃς, ποιήσω αὐτὸν ἐγὼ ἀπελεύθερον τῆς Ἥρας, καὶ τότε ἔσται σοὶ ἰσότιμος." οἱ δὲ φίλοι συμβουλεύοντες τῷ Ξάνθῳ ἔλεγον „ἐλευθέρωσον αὐτὸν σοί· ἐὰν γὰρ τῆς Ἥρας ἀπελεύθερος γένηται, ἐλευθερικὰ ἔχει δίκαια καὶ ἔσται σοὶ ὁμότιμος." ἀναγκασθεὶς οὖν ὁ

7. χεῖραν C. ‖ 9. οὐκ — διάνοιαν] vid. p. 17, 23. ‖ 17. εὐγενεῖς Schneiderus, εὐγεννεῖς C. ‖ 22. post μὲν nonnulla deesse videntur. ‖ 29. συγκαταζήσαντα Schneiderus, ἐκατατήσαντα (ἐγκαρτερήσαντα?) C. ‖ 34. ὁμοτίμιος C.

Ξάνθος ἔδωκε τὴν ἐλευθερίαν, καὶ ὁ κῆρυξ ἐβόα „Ξάνθος Δεξικράτους φιλόσοφος Σαμίοις Αἴσωπον ἐλευθεροῖ.“ καὶ ἐπληρώθη τότε τοῦ Αἰσώπου ῥῆμα τὸ „ἄκων εἰς ἐμὲ ἔχεις τοῦτο ποιῆσαι.“ τούτου δὲ γενομένου ἐλθὼν εἰς μέσον Αἴσωπος καὶ σιγὴν αἰτήσας ἔφη „ἄνδρες φιλόσοφοι, ἐπεὶ ὁ ἀετός ἐστι τῶν ὀρνέων κύριος, ὡς βασιλεὺς τῶν ἀνθρώπων, τὸν δὲ ἀπὸ τῶν νόμων στρατηγικὸν δακτύλιον ἁρπάσας ἔβαλεν εἰς δούλου κόλπον, τὶς τῶν νῦν βασιλέων βουλεύεται ὑμῶν τὴν ἐλευθερίαν καταδουλῶσαι καὶ τοὺς τῶν θεῶν νόμους ἀκυρῶσαι.“

(17) Ταῦτα ἐν τῷ θεάτρῳ παρὰ τοῦ Αἰσώπου ἀκούσαντες οἱ Σάμιοι περίλυποι γεγόνασι. καὶ ἰδοὺ παραχρῆμα γραμματοφόρος ἐν χλαμύδι διαλεύκῳ ἥκει ἐπιζητῶν τοὺς ἄρχοντας Σαμίων· μαθὼν δὲ ἐκκλησίαν γίνεσθαι παρῄει εἰς τὸ θέατρον καὶ εὐθέως δέδωκε τὰ τοῦ βασιλέως γράμματα. λύσαντες δὲ εὗρον οὕτως „Κροῖσος βασιλεὺς Λυδῶν Σαμίων ἄρχουσι, βουλῇ καὶ δήμῳ χαίρειν. κελεύω δὲ ὑμᾶς φόρους μοι παρέχειν καὶ τέλη χορηγεῖν· ἐὰν δὲ μὴ πεισθῆτε, ὅσον ἡ ἐμὴ ἰσχύει βασιλεία, τοσοῦτον ὑμᾶς βλάψω.“ ἐβουλεύσαντο οὖν ἅπαντες ὑπήκοοι τῷ βασιλεῖ γενέσθαι, ὅμως συνοῖσον εἶναι τὸν Αἴσωπον ἐρωτῆσαι, τὸ τί δεῖ αὐτοὺς ποιῆσαι. ὁ δὲ Αἴσωπος ἔφη „τῶν ἀρχόντων ὑμῶν πεισθέντων φόρους τῷ βασιλεῖ παρέχειν γνώμην μὲν οὐ δώσω, λόγον δὲ ἐρῶ ὑμῖν, καὶ τὸ συμφέρον γνῶτε. ἡ τύχη δύο ὁδοὺς ἔδειξεν ἐν τῷ βίῳ, μίαν μὲν ἐλευθερίας, ἧς ἡ ἀρχὴ τραχεῖα καὶ δύσβατος, τὸ δὲ τέλος ὁμαλὸν καὶ ἴσον, ἑτέραν δὲ δουλείας, ἧς ἡ ἀρχὴ πεδινὴ καὶ λεῖα, τὸ δὲ τέλος ἐπώδυνον καὶ σκληρόν.“ ταῦτα ἀκούσαντες οἱ Σάμιοι καὶ τὸ συμφέρον γνόντες ἀνεβόησαν λέγοντες „ἡμεῖς ἐλεύθεροι ὄντες δοῦλοι οὐ γινόμεθα,“ καὶ σκληρῶς τὸν ἀποκρισιάριον ἀπέπεμψαν. ὁ δὲ διωχθεὶς ἀπήγγειλε Κροίσῳ τῷ βασιλεῖ ἅπαντα τὰ γενόμενα. ὁ δὲ Κροῖσος ἀκούσας ἐταράχθη καὶ ἐβουλεύσατο πρὸς ὑπόδειγμα τῶν ἄλλων τὴν Σάμον κατασκάψαι. ὁ δὲ ἀποκρισιάριος ἔφη τῷ βασιλεῖ „οὐ δύνασαι, δέσποτα, Σα-

2. δεξίκρατος καὶ φιλ. C. ‖ 5. φιλόσοφοι] immo Σάμιοι. ‖ 7. τὸν] ὃν C. ‖ νόμων] an βωμῶν? ‖ 13. χλαμίδι C. ‖ ἥκων C. ‖ 20. συνοῖσον εἶναι v, συνεῖδον τοῦ καὶ C. ‖ 34. Σαμίους Schneiderus, Σαμίοις C.

μίους ὑποτάξαι τοῦ Αἰσώπου αὐτοῖς γνώμας διδόντος. δύνασαι οὖν δόλῳ πέμψαι πρεσβευτὰς καὶ αἰτῆσαι παρ' αὐτῶν τὸν Αἴσωπον δέσμιον, ὑποσχόμενος ἀντ' αὐτοῦ χάριτας δοῦναι καὶ φόρους μὴ λαβεῖν, καὶ ἴσως τότε δυνήσῃ ἐγκρατὴς αὐτῶν γενέσθαι.“ ὁ δὲ Κροῖσος *ἀρεσθεὶς τοῦ σκόπου ἕνα τῶν ἀρχόντων ἔστειλεν εἰς τὴν Σάμον, ὁ δὲ παραγενόμενος καὶ ἐκκλησίαν συναγαγὼν ἔπειθε τοὺς Σαμίους ἔκδοτον δοῦναι τὸν Αἴσωπον. ὁ δὲ Αἴσωπος εἰς μέσον ἐλθὼν καὶ σιγὴν αἰτήσας ἔφη „ἄνδρες Σάμιοι, κἀμοὶ πόθος ἐστὶ παρὰ τοὺς πόδας τοῦ βασιλέως γενέσθαι. θέλω δὲ λόγον ὑμῖν εἰπεῖν. καθ' ὃν καιρὸν ἦν ὁμόφωνα τὰ ζῶα, πόλεμον ἔσχον οἱ λύκοι μετὰ τῶν προβάτων. οἱ οὖν λύκοι κατεδυνάστευον. τῶν δὲ κυνῶν συμμαχησάντων τοῖς προβάτοις ἀπεσόβησαν τοὺς λύκους. οἱ δὲ λύκοι ἕνα πρέσβυν ἀποστείλαντες πρὸς τὰ πρόβατα εἶπον· ἐὰν θέλητε μετ' εἰρήνης ζῆν καὶ πολέμου ὑποψίαν μὴ ἔχειν, ἔκδοτε ἡμῖν τοὺς κύνας. τὰ δὲ πρόβατα μωρὰ ὄντα ἐπείσθησαν τοῖς λύκοις καὶ παρέδωκαν τοὺς κύνας. οἱ δὲ λύκοι τοὺς κύνας διασπαράξαντες εὐκαίρως διέφθειραν καὶ τὰ πρόβατα. ὁ μῦθος οὖν ἔδειξε, μὴ εἰκῇ τοὺς εὐχρήστους προδιδόναι.“*

(18) *Οἱ δὲ Σάμιοι τὰ τοῦ πράγματος κατανοήσαντες ἠβουλήθησαν τὸν Αἴσωπον κατασχεῖν, ὁ δὲ οὐκ ἠνέσχετο μεῖναι, ἀλλὰ μετὰ τοῦ πρεσβευτοῦ συμπλεύσας ἀφίκετο πρὸς τὸν βασιλέα* Κροῖσον, *καὶ εἰσελθὼν ἔστη ἐνώπιον αὐτοῦ. ὁ δὲ βασιλεὺς ἰδὼν τὸν Αἴσωπον ἠγανάκτει λέγων „ἴδε τίς ἐκώλυσέ με τοσοῦτον μὴ ὑποτάξαι λαόν;“ Αἴσωπος ἔφη „μέγιστε βασιλεῦ, οὐ βίᾳ οὐδ' ἀνάγκῃ ἑλκόμενος ἧκον πρὸς σέ, ἀλλ' αὐτοβούλως πάρειμι. ὅμοια δὲ πάσχετε οἱ ἐξ ἀκοῆς ὀργιζόμενοι τοῖς αἰφνιδίως τραυματιζομένοις καὶ ἀνακράζουσι. καὶ τὰ μὲν τραύματα ἐπιστήμῃ ἰατρῶν ὑγιάζεται, τὴν δὲ σὴν ὀργὴν ὁ ἐμὸς θεραπεύσει λόγος. ἐὰν γὰρ ἐγὼ αὐτοθελὴς ἐλθὼν πρὸς σὲ παρὰ τοῖς ποσί σου ἀποθάνω, καταγράψω σου τὴν βασιλείαν εἰς ἐλάττωσιν γενέσθαι. τοὺς γὰρ φίλους σου ἀναγκάσεις ἐναντίας σοι γνώμας συμβουλεύειν. ἐὰν γὰρ*

2. *πρεσβύτας* **C.** ‖ **11—20. fabula est 237. ed. Cor.** ‖ **11.** *ὁμόφωνα* **supra** *φρονα* **addito C.** ‖ **14.** *πρέσβιν* **C.** ‖ **15.** *θέλετε* **C.** ‖ **29.** *ἀναγκάζουσι* **C.** ‖ **30.** *ἐπιστήμη* **C.** ‖ **32.** *καταγράψω*] **an** *καταγορεύσω?*

τα τοιαῦτα συμβουλεύοντες κακῶς παρὰ σοὶ κρίνωνται, πάντοτε ἐναντία σοι ἐροῦσιν. οἱ δὲ ταχὺ ἐμπιστεύοντες λόγοις ὥσπερ τὰ κενὰ τῶν ἀγγείων τοῖς ὠταρίοις εὐβάστακτα εὑρίσκονται. ὅμως ἄκουσον. ἄνθρωπος πένης ἀκρίδας θηρεύων ἤγρευσε καὶ τὴν εὔλαλον τέττιγα τὴν τερετίστριαν καὶ ἤθελεν ἀποκτεῖναι. ἡ δὲ πρὸς αὐτὸν εἶπε· μὴ μάτην ἀποκτείνῃς, οὐ στάχυν ἀδικῶ, οὐκ ἀκρεμόνα βλάπτω, συνθέσει δὲ τῶν πτερῶν καὶ ποδῶν ἁρμονίᾳ χρηστὰ φθέγγομαι ὁδοιπόρους τέρπουσα, φωνῆς δὲ πλεῖον παρ᾽ ἐμοὶ οὐδὲν εὑρήσεις. ὁ δὲ ταῦτα ἀκούσας ἀφῆκεν αὐτήν. κἀγώ, βασιλεῦ, δέομαί σου τῶν ποδῶν, μὴ εἰκῆ ἀποκτείνῃς· οὔτε γὰρ δυνατός εἰμί τινα ἀδικῆσαι, ἐν εὐτελείᾳ δὲ σώματος χρηστὰ φθεγγόμενος βίους μερόπων ὀφέλλω." ὁ δὲ βασιλεὺς θαυμάσας, ἅμα δὲ καὶ συμπαθήσας αὐτῷ ἔφη „Αἴσωπε, ἐγώ σοι τὸ ζῆν οὐ δίδωμι, ἀλλ᾽ ἡ μοῖρα. ὃ δὲ θέλεις, αἴτησαί μου καὶ λήψῃ." Αἴσωπος ἔφη „δέομαί σου, δέσποτα, διαλλάγηθι Σαμίοις." εἰπόντος δὲ τοῦ βασιλέως „κατήλλαγμαι" προσπεσὼν ὁ Αἴσωπος ηὐχαρίστησε. συγγράψας οὖν τοὺς ἰδίους μύθους τοὺς μέχρι καὶ νῦν ἀναγινωσκομένους κατέλιπε τῷ βασιλεῖ. καὶ λαβὼν παρ᾽ αὐτοῦ γράμματα πρὸς τοὺς Σαμίους, ὡς ἕνεκεν Αἰσώπου κατηλλάχθη αὐτοῖς, καὶ πολλά τε καὶ καλὰ δῶρα παρὰ τοῦ βασιλέως εἰληφώς, πλεύσας ἦλθεν εἰς τὴν Σάμον. ὡς οὖν εἶδον αὐτὸν οἱ Σάμιοι, στέμματα καὶ χοροὺς ἤγειραν εἰς τὴν πόλιν. ὁ δὲ ἐκκλησίαν ἐπιστησάμενος ἀνέγνω αὐτοῖς τὰ τοῦ βασιλέως γράμματα, δείξας αὐτοῖς ἀνταμοιβὴν τῆς παρ᾽ αὐτῶν γενομένης ἐλευθερίας ἐπ᾽ αὐτόν. οἱ δὲ Σάμιοι εὐεργετηθέντες τιμὰς καὶ τέμενος αὐτῷ ἐψηφίσαντο, καλέσαντες τὸν τόπον ἐκεῖνον Αἰσώπειον.

(19) *Μετὰ δὲ ταῦτα ἐξελθὼν παρεπορεύετο τὴν οἰκουμένην καὶ ἐν τοῖς ἀκροατηρίοις διελέγετο. παραγενομένου δὲ αὐτοῦ ἐν Βαβυλῶνι καὶ τὴν ἑαυτοῦ ἐπιδειξαμένου σοφίαν,*

4—10. fabula est 344. ed. Cor. ‖ 4. *ἀκρίδας* Schneiderus, *ἀχρίδας* C. ‖ 9. *πλεῖον* Schneiderus, *πλείω* C. ‖ 13. *ὀφέλλων* C. ‖ 15. *μοι* C. ‖ 21. *κατηλλάχθη* Schneiderus, *κατηλλάχθαι* C. ‖ *καὶ καλὰ* add. Schneiderus. ‖ 23. *ἐφόρεσαν* post *στέμματα* addi voluit Schneiderus: *στέμματά τε αὐτῷ προσήνεγκαν καὶ χοροὺς αὐτῷ συνεστήσαντο* v. ‖ 26. *παρ᾽ αὐτῶν* aut *περὶ αὐτὸν* Schneiderus, *παρ᾽ αὐτὸν* C.

μέγας ἐγένετο παρὰ Λυκούργῳ τῷ βασιλεῖ. ἐν ἐκείνοις γὰρ τοῖς καιροῖς οἱ βασιλεῖς εἰρηνεύοντες πρὸς ἀλλήλους καὶ τερπόμενοι προβλήματα φιλοσοφικὰ διὰ γραμμάτων ἔστελλον πρὸς ἀλλήλους, καὶ οἱ μὴ διαλυσάμενοι φόρους παρεῖχον τοῖς προτιθεμένοις. ὁ δὲ Αἴσωπος τὰ στελλόμενα τῷ Λυκούργῳ προβλήματα ἐπιλύων εὐδοκιμεῖν ἐποίει τὸν βασιλέα, αὐτὸς δὲ διὰ τοῦ Λυκούργου τοῖς βασιλεῦσι προβλήματα ἔπεμπε. καὶ μὴ δυνάμενοι λῦσαι φόρους τῷ Λυκούργῳ παρεῖχον, καὶ οὕτως ἡ τῶν Βαβυλωνίων προέκοπτε βασιλεία. ὁ δὲ Αἴσωπος ἄτεκνος ὑπάρχων ἰδιοποιήσατο παῖδα τῶν εὐγενῶν ὀνόματι Αἶνον, ὃν καὶ προσήνεγκε τῷ βασιλεῖ ὡς οἰκεῖον τέκνον, προπαιδείαν πᾶσαν διδάξας σοφίαν. ὁ δὲ Αἶνος γαμητιῶν τῶν τοῦ βασιλέως παλλακῶν μιᾷ συνεπλάκη. γνοὺς δὲ ὁ Αἴσωπος πικρὸν αὐτῷ ἠπείλησε θάνατον. ὁ δὲ Αἶνος φόβῳ συσχεθεὶς ψευδέσι λόγοις ὑποβάλλει τὸν Αἴσωπον πρὸς τὸν βασιλέα. γράψας γὰρ πλαστὴν ἐπιστολὴν ὡς ἐκ τοῦ Αἰσώπου πρὸς τοὺς ἀντιδίκους Λυκούργου ὡς ἐκείνοις βοηθοῦντος καὶ σφραγίσας τῷ τοῦ Αἰσώπου δακτυλίῳ ὑπέδειξε τῷ Λυκούργῳ, ὁ δὲ βασιλεὺς πεισθεὶς τῇ σφραγῖδι καὶ ὀργισθεὶς τῷ Αἰσώπῳ παραχρῆμα ἀνεξετάστως ἐκέλευσε τῷ Ἑρμίππῳ τοῦτον ὡς προδότην ἀποκτεῖναι. ὁ δὲ Ἕρμιππος φίλος ὢν τοῦ Αἰσώπου ἔκρυψεν αὐτὸν ἐν τάφῳ μηδενὸς συνειδότος καὶ ἔτρεφεν αὐτὸν ἐν τῷ κρυπτῷ. ὁ δὲ Αἶνος ἀπέλαβε τὴν τοῦ Αἰσώπου διοίκησιν πᾶσαν. μετὰ δὲ χρόνον τινὰ ἀκούσας Νεκτεναβὼ τὸν Αἴσωπον τεθνηκέναι, ἔστειλεν ἐξ Αἰγύπτου πρὸς τὸν Λυκοῦργον δι' ἐπιστολῶν ζητήματα προβλημάτων ἔχοντα οὕτως· „Νεκτεναβὼ βασιλεὺς Αἰγυπτίων Λυκούργῳ βασιλεῖ Βαβυλωνίων χαίρειν. ἐπειδὴ θέλω οἰκοδομῆσαι πύργον μήτε γῆς μήτ' οὐρανοῦ ἁπτόμενον, ἀπόστειλόν μοι τοὺς μέλλοντας τὸν πύργον ἐποικοδομεῖν καὶ τὸν ἀποκρινόμενόν μοι εἰς ὅσα ἂν καὶ ἐρωτήσω, καὶ λάβε παρ' ἐμοῦ ὑπὲρ ὅλης τῆς ὑπ' ἐμαυτὸν ἐνορίας φόρους ἐτῶν δέκα· εἰ δ' ἀπορεῖς, πέμψον μοι ὑπὲρ πάσης τῆς ὑπὸ σὲ γῆς φόρους ἐτῶν δέκα.“ ταῦτα οὖν ἀκούσας Λυκοῦργος περίλυπος γέγονεν ἐπὶ τῇ τοι-

1. *Λυκήρῳ* v. ‖ 11. *Αἶνον* habet etiam Planudea cod. Vindob. ph. gr. 192, *Αἶνον* cod. Vindob. th. gr. 128 (vid. supr. p. 4), *Ἔννον* v. ‖ 23. *ἀπέλαβε* aut *ὑπέλαβε* Coberus, *πέλαβε* C.

αὐτῇ ἀποτομίᾳ Νεκτανεβώ, καὶ συγκαλέσας τοὺς ἑαυτοῦ φίλους ἅπαντας ἔφη „εἰ δύνασθε διαλῦσαι τὸ τοῦ πύργου ζήτημα, διασαφήσατέ μοι.“ πάντων δὲ ἀπορησάντων καθίσας αὐτὸς εἰς τὸ ἔδαφος ἐθρήνει τὸν Αἴσωπον καὶ στενάζων ἔλεγε „τὸν κίονά μου, τὸν κίονα τῆς βασιλείας ἀπώλεσα διὰ τὴν ἀβουλίαν μου. ποία με εἱμαρμένη ἐζώγρησεν ἀπολέσθαι τὸν Αἴσωπον;“ ἐπιγνοὺς δὲ ὁ Ἕρμιππος, ὅτι περίλυπος ἦν ὁ βασιλεὺς διὰ τὸν Αἴσωπον, θέλων τὸ ἑαυτοῦ ἁμάρτημα εὔκαιρον δεῖξαι, προσελθὼν τῷ βασιλεῖ εἶπε „δέσποτα βασιλεῦ, μὴ οὕτως κατάλυπος γίνου· τὴν γὰρ ἀπόφασιν, ἣν ἔδωκας τῷ Αἰσώπῳ, ἐγὼ οὐκ ἐποίησα, εἰδὼς ὅτι μετάμελον ἔχεις. γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι ὁ Αἴσωπος ζῇ. ἀλλὰ διὰ τὸν βασιλικὸν νόμον ζῶντα αὐτὸν εἰς τάφον ἔβαλλον, τρέφων αὐτὸν ἄρτῳ καὶ ὕδατι.“ ἀκούσας δὲ ὁ βασιλεὺς καὶ ἐξ ἀνελπίστων χαρᾶς πλησθείς, ἀναστὰς ἀπὸ τοῦ ἐδάφους ἠσπάσατο τῷ στόματι τὸν Ἕρμιππον καί φησι „εἴθε ἠδυνάμην τὴν σήμερον ἡμέραν αἰωνίαν ποιῆσαι, ἐὰν ἀληθεύῃς, ὅτι Αἴσωπος ζῇ· ἐκεῖνον γὰρ τηρήσας τὴν ἐμὴν ἐτήρησας βασιλείαν.“ καὶ παραχρῆμα κελεύει αὐτὸν κληθῆναι. παραγενομένου δὲ τοῦ Αἰσώπου ἐν ῥύπῳ καὶ κόνει διὰ τὴν χρόνιον κάθειρξιν ἀποστραφεὶς ὁ βασιλεὺς ἐδάκρυσε, καὶ αὐτίκα ἐκέλευσεν αὐτὸν λουσάμενον ἀλλάξαι. ὁ δὲ Αἴσωπος εἰς αὐτὸν γενόμενος κατασταθεὶς ἠσπάσατο τὸν βασιλέα, καὶ ἀπελογίσατο ὑπὲρ ὧν κατηγόρησεν αὐτοῦ Αἶνος ὁ παρ' αὐτοῦ υἱοποιηθείς. τοῦ δὲ βασιλέως μέλλοντος τὸν Αἶνον ἀνελεῖν ὡς εἰς πατέρα ἀσεβήσαντα ᾐτήσατο ὁ Αἴσωπος αὐτὸν συγχωρῆσαι, εἰπὼν μὴ τεθνεῶτα αὐτὸν ἕξειν· εἰς ἑαυτὸν γὰρ τῆς αἰσχύνης ἔχειν ἔφη τὸν θάνατον. ἐκείνῳ οὖν τὸ ζῆν συγχωρήσας ὁ βασιλεὺς τῷ Αἰσώπῳ ἔφη „λαβὼν τὴν ἐπιστολὴν τοῦ βασιλέως Αἰγύπτου ἀνάγνωθι.“ ἐπιγνοὺς δὲ ὁ Αἴσωπος τὸ ζήτημα μειδιάσας ἔφη „ἀντίγραψον αὐτῷ· ἐὰν ὁ χειμὼν παρέλθῃ, πέμψω σοι τοὺς τὸν πύργον οἰκοδομήσοντας καὶ τὸν ἀποκριθησόμενόν σοι.“ γράψας οὖν ταῦτα ὁ βασιλεὺς ἀπέλυσε τοὺς πρέσβεις τῶν Αἰγυπτίων, τῷ δὲ Αἰσώπῳ ἅπαντα τὰ αὐτοῦ ἀποδοὺς καὶ τὴν ἐξ ἀρχῆς διοί-

6. ἀπωλέσθαι C. ‖ 11. ἔχεις] immo ἕξεις. ‖ 24. αὐτῷ C. ‖ 27. εἰπὼν] malim ὅπως et mox ἕξει. ‖ 28. τῆς] an τι aut τι τῆς? ‖ 31. αὐτὸν C.

κησιν τῶν πραγμάτων ἐνεχειρίσατο, δοὺς αὐτῷ καὶ τὸν Αἶνον ἔκδοτον. ὁ δὲ λαβὼν αὐτὸν ἐνουθέτει λέγων „ἐπάκουσον τοὺς ἐμοὺς λόγους, τέκνον, καὶ φύλαξον ἐν τῇ καρδίᾳ σου, κἂν μέχρι τοῦ νῦν οὐ δικαίας μοι χάριτας ἀνταπέδωκας. πάντες ἐσμὲν τοῦ νουθετεῖν σοφοί, αὐτοὶ δὲ ἁμαρτάνοντες οὐ γινώσκομεν. ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης· αἱ ταύτης γὰρ δόσεις οὐκ εἰσὶν ἔμμονοι. πρὸ πάντων σέβου τὸ θεῖον, τὸν βασιλέα δὲ τίμα. ἄνθρωπος ὢν ἀνθρώπινα φρόνει· ἄγει γὰρ τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην. ἄδικον τὸ λυπεῖν ἑκουσίως τοὺς φίλους, τὰ δὲ συμβαίνοντα ἀνδρὶ γενναίως δεῖ φέρειν. τοῖς ἐχθροῖς σου δεινὸν σεαυτὸν παρασκεύαζε, ἵνα μὴ καταφρονήσωσί σου, τοῖς δὲ φίλοις πρᾷον καὶ μεταδοτικόν, ἵνα εὐνοϊκώτεροί σοι γίνωνται. τοὺς ἐχθρούς σου εὔχου ἀρρωστεῖν καὶ πένεσθαι, ἵνα ἀδυνατῶσι βλάπτειν σε, τοὺς δὲ φίλους κατὰ πάντα εὐτυχεῖν θέλε. τῇ συγκοίτῳ σου χρηστὰ ὁμίλει, ὅπως ἄλλου ἀνδρὸς μὴ ζητήσῃ πεῖραν λαβεῖν· κοῦφον γάρ ἐστι τὸ γυναικεῖον γένος καὶ κολακευόμενον ἐλάττω φρονεῖ κακά. πάντα δεινὸν ἄνδρα φεῦγε, ἐπιστάμενος ἰσχυρότερον αὐτοῦ ἀνταγωνιστὴν μὴ εἶναι. ἀνὴρ πονηρὸς δυστυχεῖ κἂν εὐτυχῇ. ὀξυτέραν τοῦ λέγειν κτῆσαι τὴν ἀκοήν, τῆς δὲ γλώττης σου ἐγκρατὴς γίνου. ἐν οἴνῳ μὴ

2. ἐνουθέτει C. ‖ haec adhortatio partim consarcinata est ex antiquis trimetris: plerosque indagavi atque indicavi, reliquos indagent alii. ‖ 5. πάντες — γινώσκομεν] ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί, αὐτοὶ δ' ἁμ. οὐ γ. in Menandri sent. monost. 46 ed. Meinek. (com. gr. fr. 4. p. 341): Euripidi tribuunt Stob. 23, 5. et Arsen. p. 72, qui alterum versum sic exhibent, αὐτοὶ δ' ὅταν σφάλωμεν οὐ γ. cf. Eurip. frg. 862 Wagn. ‖ 6. ἄνθρωπος — τύχης] Menand. sent. 8. Hippothoonti tribuit Stob. 22, 25. ‖ 7. certe ταύτης γάρ εἰσιν αἱ δόσεις οὐκ ἔμμονοι. ‖ σέβου τὸ θεῖον] admodum vulgare est. cf. Menand. sent. 229. 474, septt. sapp. sentt. ‖ 8. ἄνθρωπος — φρόνει] ἄνθρωπον ὄντα δεῖ φρονεῖν τἀνθρώπινα Menand. sent. 1. ‖ 9. ἄγει — δίκην, omisso γὰρ, Menand. 14. cf. Stob. ecl. phys. 1. p. 128. ‖ 10. ἄδικον — φίλους] ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως Menand. 9. ‖ τὰ — φέρειν] ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν Menand. 13. ‖ 12. καταφρονήσουσι C. ‖ 13. σοι Schneiderus, σου C. ‖ 15. τοὺς — θέλε] σὺν τοῖς φίλοισιν εὐτυχεῖν ἀεὶ θέλε Menand. 488. ‖ 16. ὅπως — γένος] versus fuisse videntur ἵν' ἀνδρὸς ἄλλου μὴ ποθῇ (θέλῃ cod. Vindob., vid. supr. p. 4. adn. v. 12) πεῖραν λαβεῖν· κοῦφον γάρ ἐστι πᾶν γυναικεῖον γένος, vel similes. ‖ 18. πάντα — φεῦγε] δόλιον γὰρ ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον Menand. 131. cf. Boisson. Anecd. 1. p. 12. ‖ 19. ἀνὴρ — εὐτυχῇ] Menand. 19. ‖ 21. τῆς — γίνου] γλώσσης μάλιστα πανταχῆ πειρῶ

βαττολόγει σοφίαν ἐπιδεικνύμενος· ἀκαίρως γὰρ κατασοφιζόμενος διαγελασθήσῃ. τοῖς εὖ πράττουσι μὴ φθόνει, ἀλλὰ σύγχαιρε· φθονῶν γὰρ μᾶλλον σαυτὸν βλάψεις. τῶν οἰκετῶν σου ἐπιμελοῦ ἐπιδιδόναι ἀφθόνως, ἵνα μὴ μόνον ὡς κύριον, ἀλλὰ καὶ ὡς εὐεργέτην ἐντρέπωνται. θυμοῦ κράτει, μὴ φρενῶν ἔξω πέσῃς· ἀεὶ δὲ τὸ φρονεῖν αἴτιόν ἐστι τοῦ πλουτεῖν. παρηκμακὼς μανθάνειν μὴ αἰσχύνου τὰ κρείττονα· βέλτιον γὰρ ὀψιμαθῆ καλεῖσθαι ἢ παντελῶς ἀμαθῆ. τῇ γυναικί σου μηδέποτε ἀπόρρητα φθέγγου· ἀεὶ γὰρ ὁπλίζεται τὸ πῶς σου κυριεύσῃ. τὸν καθημερινὸν ζήτει προσλαμβανόμενος καὶ εἰς τὴν αὔριον ἀποθησαύριζε· βέλτιον γάρ ἐστι τελευτῶντα ἐχθροῖς καταλιπεῖν ἢ ζῶντα τῶν φίλων ἐπιδέεσθαι. εὐπροσήγορος ἔσο τοῖς συναντῶσί σοι, εἰδὼς ὅτι καὶ τῷ κυνὶ ἡ οὐρὰ ἄρτον προσπορίζεται. αἰσχρὸν ἀτυχοῦντι ἐπιγελᾶν. ἀεὶ θέλε χρήσιμα προσμανθάνειν καὶ φρόνιμα ἐπιτάσσειν. λαβών τι ταχὺ προθύμως ἀπόδος, ἵνα πάλιν λάβῃς, ἀγαθοποιεῖν δὲ δυνάμενος μὴ μετανόει. ψίθυρον ἄνδρα καὶ διαβεβλημένον ἔκβαλε ἐκ θυρῶν σου· τὰ γὰρ ὑπὸ σοῦ λεγόμενα καὶ πραττόμενα ἑτέροις ἀναθήσεται. πράττε τὰ μὴ λυποῦντά σε, ἐπὶ δὲ τοῖς συμβαίνουσι μὴ λυποῦ, ἀλλὰ φέρε γενναίως. πονηρὰ δὲ μὴ βουλεύου μηδὲ τρόπους κακῶν μιμήσῃ. ἐπὶ τοῖς θλιβεροῖς ὑπόμενε· πάντα γὰρ καιρῷ ἰδίῳ ἔχει χάριν. πάντα γὰρ θάλλει καὶ πάλιν μαραίνεται. καιρὸς γὰρ παρέχει καὶ πάλιν ἀφαιρεῖται. ξένους ξένιζε καὶ

κρατεῖν Menand. 80. sed potest et alius subesse. ‖ 2. τοῖς — φθόνει] αὐτὸς πενόμενος τοῖς ἔχουσι μὴ φθόνει Menand. 43. cf. Boisson. Anecd. 1. p. 153. ‖ 4. ἐπιδιδόναι] μεταδιδοὺς cod. Vindob. ‖ 5. θυμοῦ κράτει] γρ. θυμὸν χαλίνου mg. C, et versus iste, θυμὸν χαλίνου, μὴ φρενῶν ἔξω πέσῃς, legitur in sentent. monost. Gregorii Nazianz. 8 (Opp. ed. Colon. t. 2. p. 186). ‖ 7. παρηκμακὼς — κρείττονα] καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά Menand. 297. ‖ 10. κυριάσῃ C. ‖ 11. ἀποθησαυρίζειν cod. Vindob. ‖ 14. ἀτυχοῦντι μὴ ἐπιγέλα tribuitur aut Pittaco (Opp. sent. ed. Orell. 1. p. 148) aut Chiloni (Boisson. Anecd. 1. p. 137). cf. Stob. tit. 112. ‖ 16. λαβὼν — λάβῃς] λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν Menand. 317. ‖ 17. ψίθυρον — σου] ψίθυρον ἄνδρα ἔκβαλε σῆς οἰκίας Thaleti tribuitur ap. Orell. 1. 1. p. 150. ‖ 20. ἐπὶ — γενναίως] cf. p. 46, 10. ‖ 21. μηδὲ — μιμήσῃ] μιμοῦ τὰ σεμνά, μὴ κακοὺς μιμοῦ τρόπους Menand. 336. ‖ 23. θάλλει δὲ πάντα si scribas, versus fit. ‖ 24. καιρὸς — ἀφαιρεῖται] οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη Menand. 428. ‖ ξένους — γένῃ] ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ' ἔσῃ Menand. 400. cf. Boisson. 1. p. 157.

προτίμα καὶ παροδίτας τίμα, μήποτε καὶ σὺ ξένος γένῃ. ὁ ἀγαθὸς λόγος ἰατρός ἐστι τῶν κατὰ ψυχὴν πόνων. μακάριος ὅστις ἔτυχε γνησίου φίλου. μακάριος ὃς χάριτας καλὰς ἐκτίνειν οἶδεν· οὐδεὶς γὰρ κακῶς πράσσοντι γίγνεται καλὸς φίλος. πάντα δὲ τὰ καλυπτόμενα ὁ χρόνος εἰς φῶς ἄγει.“ ταῦτα οὖν καὶ ἕτερα τῷ νεανίᾳ εἰπὼν Αἴσωπος ἐχωρίσθη τούτου, ὁ δὲ Αἶνος διὰ λόγων μαστιγωθεὶς καὶ ὑπὸ τῆς συνειδήσεως τρυχόμενος ἐπὶ τῷ ἠδικηκέναι Αἴσωπον ἀποκρημνισάμενος ἑαυτὸν μετήλλαξε τὸν βίον.

(20) Μετὰ δὲ ταῦτα συγκαλέσας Αἴσωπος πάντας τοὺς ἰχνευτὰς ἐκέλευσεν συλληφθῆναι ἀετῶν προτίων νεοσσοὺς τέσσαρας, συλληφθέντων δὲ αὐτῶν ἀφείλατο τὰ ἔσχατα πτερά· οὕτως τε αὐτοὺς τρέφεσθαι καὶ μανθάνειν παῖδας διὰ θυλάκων βαστάζειν. γενόμενοι δὲ οἱ ἀετοὶ τέλειοι καὶ τοὺς παῖδας βαστάζοντες ἀνίπταντο εἰς ὕψος δεδεμένοι κάλως, ὑπήκοοι δὲ τοῖς παισὶν ὅλως ἐγένοντο πρὸς τὸ ἐκείνων βούλημα φερόμενοι· ὅτε γὰρ ἤθελον οἱ παῖδες, ἀνίπταντο εἰς τὸν οὐρανὸν ἄνω, ὅτε δὲ πάλιν ἐβούλοντο, κατῄεσαν εἰς τὴν γῆν. τῆς δὲ χειμερινῆς παρελθούσης τροπῆς πάντα εὐτρεπίσας Αἴσωπος τὰ πρὸς ὁδοιπορίαν, συνταξάμενος τῷ Λυκούργῳ ἀπέπλευσεν εἰς τὴν Αἴγυπτον σὺν τοῖς ἀετοῖς καὶ τοῖς παισὶ καὶ μεθ᾽ ἑτέρας φαντασίας τε καὶ παρασκευῆς πολλῆς καὶ δόξης ἀνεικάστου πρὸς κατάπληξιν τῶν Αἰγυπτίων. ἰδόντες δὲ οἱ Αἰγύπτιοι τὸν Αἴσωπον μυσαρὸν ὄντα τῇ θέᾳ ἔδοξαν παίγνιον εἶναι, μὴ εἰδότες ὅτι ἐν σαπροῖς σκεύεσι βάλσαμον πολυτελὲς ἢ οἶνος κάλλιστος ἐγκαταγγίζεται. ἀκούσας δὲ Νεκτεναβὼ τὸν Αἴσωπον παραγεγονέναι, μετακαλεσάμενος τοὺς φίλους αὐτοῦ εἶπεν „ἠνεδρεύθην μεμαθηκὼς Αἴσωπον τεθνάναι.“ τῇ δὲ ἐπαύριον ἐκέλευσεν ἅπαντας τοὺς ἄρχοντας αὐτοῦ λευκὰς στολὰς περιβαλέσθαι,

2. ὁ — πόνων] ἰατρὸς ὁ λόγος τοῦ κατὰ ψυχὴν πάθους Menand. 674. cf. 550. 622. ‖ μακάριος — φίλου] Menand. 357, nisi quod γενναίου. ‖ 4. οὐδεὶς — φίλος] demas γὰρ et καλὸς. cf. Menand. 32. 502. ‖ 4. πάντα — ἄγει] πάντ᾽ ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει Menand. 459. Sophocli tribuit Stob. ecl. phys. 1. p. 223. cf. Menand. 11. 592. ‖ 10. δὲ Schneiderus, καὶ C. ‖ 11. προτίων] an προετείων? ‖ 15. καλῶς C, κάλοις Schneiderus. ‖ 22. μετ᾽ C. ‖ 26. ἐγκαταγγείζεται C.

αὐτὸς δὲ περιεβάλετο στολὴν ἱερὰν καὶ κίδαριν καὶ διάδημα κατὰ τῆς κεφαλῆς αὐτοῦ ἔχον κέρατα διάλιθα. προκαθίσας δὲ ἐπὶ θρόνου ὑψηλοῦ ἐκέλευσε τὸν Αἴσωπον εἰσελθεῖν. εἰσελθὼν δὲ καὶ τὴν παρασκευὴν θεασάμενος προσκυνήσας ἔστη. ὁ δὲ Νεκτεναβὼ πρὸς αὐτὸν ἔφη „τίνι ἄρα εἰκάζεις ἐμέ τε καὶ τοὺς περὶ ἐμὲ βλέπειν;“ ὁ δὲ ἔφη „σὲ μὲν ἡλίῳ τῷ τῆς ἐαρινῆς ὥρας ἐξανατέλλοντι, τοὺς δὲ περὶ σὲ τῶν ἐκ τῆς γῆς καρπῶν τῇ ὡραιότητι· ὡς γὰρ βασιλεὺς πορφυρίζουσαν ἔχεις τὴν ἀπὸ τῆς ὁράσεως τέρψιν καὶ τοὺς καρποὺς εὐανθεῖς ἀναλαμβάνεις.“ ὁ δὲ βασιλεὺς θαυμάσας αὐτοῦ τὸ νοερὸν δῶρα αὐτῷ ἐπέδωκε. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ὁ βασιλεὺς στολὴν λευκὴν καὶ καθαρὰν ἐνδυσάμενος, τοῖς δὲ φίλοις κόκκινα περιθεὶς ἐλθόντος τοῦ Αἰσώπου ἐπύθετο ὡσαύτως λέγων „τίνι ἄρα εἰκάζεις ἡμᾶς εἶναι;“ ὁ δὲ Αἴσωπός φησι „σὺ μὲν τῷ ἡλίῳ, οἱ δὲ περὶ σὲ τοῖς ἀκτῖσιν· ὥσπερ γὰρ ὁ ἥλιος λαμπρὸς καὶ διαυγὴς ὑπάρχει, οὕτω καὶ σὺ λαμπρὸς καὶ διαυγὴς ὑπάρχεις καὶ καθαρὸς εἶ ὡς ὁ ἡλιακὸς κύκλος, οὗτοι δὲ διάπυροι ὡς αἱ τοῦ ἡλίου ἀκτῖνες.“ ὁ δὲ Νεκτεναβὼ ἔφη „ὥστε οἶμαι κατὰ τὴν ἐμὴν βασιλείαν μηδὲν εἶναι Λυκούργῳ.“ ὁ δὲ Αἴσωπος μειδιάσας ἔφη „μὴ εὐχερῶς ἐκεῖνον πρόσφερε, βασιλεῦ. πρὸς δὲ τὸ ἴδιον ἔθνος ἐπιδεικνυμένη ὡς ἡλίου καὶ σελήνης αὐγὴ φαίνει ἡ ὑμῶν βασιλεία· ἐὰν δὲ Λυκοῦργος ὀργισθῇ, ταύτης τὴν λαμπρότητα ἀφανῆ ποιήσει· πάντων γὰρ ἐν ὑπεροχῇ διαφέρει.“ καταπλαγεὶς δὲ Νεκτεναβὼ τὴν εὐστοχίαν τῶν λόγων αὐτοῦ μετ᾽ ὀλίγον ἔφη „ἤνεγκας ἡμῖν τοὺς μέλλοντας οἰκοδομεῖν τὸν πύργον;“ Αἴσωπος ἔφη „ἕτοιμοί εἰσιν, ἐὰν τὸν τόπον ὑποδείξῃς.“ εὐθέως δὲ ὁ βασιλεὺς ἔξω τῆς πόλεως εἰς τὸ πεδίον σὺν τῷ Αἰσώπῳ ἀφίκετο καὶ μέτρα ποιησάμενος ἔδωκε τῷ Αἰσώπῳ. ὁ δὲ Αἴσωπος στήσας κατὰ γωνίαν τοῦ δειχθέντος τόπου τοὺς ἀετοὺς καὶ τοὺς παῖδας διὰ τῶν θυλάκων τοῖς ποσὶν ἀπαρτίσας καὶ μύστρα αὐτοῖς ἐπιδοὺς ἐκέλευσεν ἀναπτῆναι. οἱ δὲ εἰς ὕψος γενόμενοι ἐφώνουν „δότε πηλόν, δότε πλίνθον, δότε ξύλα,

1. περιβάλετο C. ‖ 5. τίνα C. ‖ 7. τῶν] τῷ C. ‖ 15. σὺ] σοὶ C, σε Schneiderus. ‖ οἱ] τοὺς Schneiderus. ‖ 16. λαμπρὸς Schneiderus, λαμπρῶς C. ‖ 20. malim ἐκείνῳ προσφέρου.

καὶ ὅσα πρὸς οἰκοδομὴν χρὴ ἀνάγετε ἡμῖν.“ ὁ δὲ Νεκτεναβὼ θεασάμενος τοὺς παῖδας ὑπὸ τῶν ἀετῶν εἰς ὕψος ἀναφερομένους ἔφη „πόθεν ἐμοὶ πτηνοί εἰσιν ἄνθρωποι;“ Αἴσωπος ἔφη „ἀλλὰ Λυκοῦργος ἔχει. σὺ δὲ θέλεις ἄνθρωπος ὢν ἰσοθέῳ ἐρίζειν βασιλεῖ;“ ὁ δὲ Νεκτενάβὼ ἔφη „Αἴσωπε, ἥττημαι. ὃ δέ σε ἐρωτήσω, ἀποκρίθητί μοι.“ καί φησι „μετεπεμψάμην ἵππους ἀπὸ τῆς Ἑλλάδος καὶ τοῖς ἐνθάδε συνέμιξα ἵπποις. αἱ οὖν θήλειαι ὅταν ἀκούσωσι τῶν ἐν Βαβυλῶνι ἵππων χρεμετιζόντων, ἐκτιτρώσκουσιν.“ Αἴσωπος ἔφη „αὔριόν σοι περὶ τούτου ἀποκριθήσομαι.“ ἐλθὼν δὲ εἰς τὴν οἰκίαν ἐκέλευσε τοῖς ἰδίοις δούλοις αἴλουρον συλλαβέσθαι· συλλαβόντες δὲ ἕνα παμμεγέθη ἤρξαντο δημοσίᾳ μαστίζειν. οἱ δὲ Αἰγύπτιοι θεασάμενοι δεινοπαθοῦντες συνέδραμον εἰς τὴν οἰκίαν τοῦ Αἰσώπου, ἀπαιτοῦντες τὸν αἴλουρον, ὁ δὲ οὐ προσεποιεῖτο. ἐλθόντες οὖν προσεφώνησαν τῷ βασιλεῖ τὸ συμβάν, ὁ δὲ ἀγανακτήσας μεταπέμπεται τὸν Αἴσωπον. ἐλθόντος δὲ αὐτοῦ ἔφη „κακῶς πέπραχας, Αἴσωπε· θεᾶς γὰρ Βυβάστεως τοῦτο εἴδωλόν ἐστιν, ὃ μάλιστα σέβουσιν οἱ Αἰγύπτιοι.“ Αἴσωπος ἔφη „Λυκοῦργος ὁ βασιλεὺς ὑπ' αὐτοῦ ἠδικήθη· ἐν τῇ νυκτὶ γὰρ ταύτῃ ἡ αἴλουρος αὕτη ὃν εἶχεν ἀλεκτρυόνα γενναῖον καὶ μάχιμον, ἔτι δὲ καὶ τὰς ὥρας αὐτῷ σημαίνοντα ἀκριβῶς, ἀπέκτεινεν.“ ὁ δὲ Νεκτεναβὼ ἔφη „οὐκ αἰσχύνῃ ψευδόμενος, Αἴσωπε; πῶς γὰρ ἐν μιᾷ νυκτὶ αἴλουρος ἀπ' Αἰγύπτου εἰς Βαβυλῶνα ἐπορεύθη;“ ὁ δὲ μειδιάσας ἔφη „εἰπέ μοι οὖν, βασιλεῦ, πῶς ἐν Βαβυλῶνι τῶν ἵππων χρεμετιζόντων ἐνθάδε αἱ θήλειαι ἀκούσασαι ἐκτιτρώσκουσιν;“ ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς ἐμακάρισεν αὐτοῦ τὴν φρόνησιν. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ μετεπέμψατο ἀπὸ Ἡλιουπόλεως ἄνδρας σοφοὺς ἐπισταμένους τὰ φυσικὰ ἐπερωτήματα, καὶ διαλεχθεὶς αὐτοῖς περὶ τοῦ Αἰσώπου ἐκάλεσεν αὐτοὺς ἐπὶ δεῖπνον ἅμα τῷ Αἰσώπῳ. ἀνακλιθέντων αὐτῶν τις τῶν Ἡλιουπολιτῶν πρὸς τὸν Αἴσωπον ἔφη „ἀπεστάλημεν παρὰ θεοῦ πρὸς σὲ λόγους εἰπεῖν, ὅπως ἂν αὐτοὺς διαλύσῃς.“ ὁ δὲ „ψεύδῃ“ φησί, „θεὸς γὰρ παρὰ ἀνθρώπου οὐδὲν βού-

1. ἀγάγετε C. ‖ 7. τοῖς ἐνθάδε] γρ. τοῖς βαβυλωνίοις mg. C. ‖ 32. ἀπεστάλη μὲν C.

λεται μαθεῖν, ἐτάζειν δὲ οἶδεν ἑκάστου τὸν νοῦν καὶ τὸν τρόπον. ὑμεῖς δὲ καὶ ἑαυτῶν κατηγορεῖτε καὶ τοῦ θεοῦ ὑμῶν. πλὴν εἴπατε ὃ θέλετε.“ οἱ δέ φασιν „ἔστι ναὸς καὶ στῦλος ἐπὶ τῷ ναῷ ἔχων πόλεις δώδεκα, ἑκάστη δὲ πόλις ἐστεγασμένη τριάκοντα δοκοῖς, ταύτας περιτρέχουσι δύο γυναῖκες.“ Αἴσωπος ἔφη „τοῦτο τὸ πρόβλημα καὶ οἱ παρ' ἡμῖν διαλύουσι παῖδες. ὁ ναὸς οὖν ἐστιν ἡ οἰκουμένη διὰ τὸ περιέχειν ἅπαντα, ὁ δὲ ἐπὶ τῷ ναῷ στῦλος ὁ ἐνιαυτός ἐστιν, αἱ δὲ ἐπὶ τούτῳ δώδεκα πόλεις οἱ δώδεκα μῆνές εἰσιν, οἱ δὲ τριάκοντα δοκοὶ αἱ τοῦ μηνὸς τριάκοντα ἡμέραι εἰσίν, αἱ δὲ περιερχόμεναι δύο γυναῖκες ἡ ἡμέρα ἐστὶ καὶ ἡ νύξ, ἄλλη παρ' ἄλλην πορευόμεναι, τὸν καθημερινὸν μερόπων εὐθύνουσαι βίον.“ καὶ τοῦτο εἰπὼν ἐπέλυσεν αὐτῶν τὸ ζήτημα. τῇ δὲ ἑξῆς ἡμέρᾳ συναγαγὼν ὁ Νεκτεναβὼ ἅπαντας τοὺς φίλους λέγει πρὸς αὐτούς „διὰ τὸν Αἴσωπον τοῦτον μέλλομεν φόρους τελεῖν Λυκούργῳ τῷ βασιλεῖ Βαβυλωνίων.“ εἷς δὲ τῶν μεγιστάνων αὐτοῦ ἔφη „ἐπερωτήσωμεν προβλήματα, καὶ φράσῃ ἡμῖν ὃ οὔτε εἴδομεν οὔτε ἠκούσαμεν, καὶ ὅ τι ἂν εἴπῃ, ἡμεῖς ἐροῦμεν, τοῦτο ἡμεῖς ἠκούσαμεν καὶ εἴδομεν.“ ἀρεσθεὶς οὖν ἐπὶ τούτῳ Νεκτεναβὼ εἶπεν „Αἴσωπε, φράσον ἡμῖν τι, ὃ οὔτε ἠκούσαμεν οὔτε εἴδομεν.“ ὁ δέ φησι „ἔνδοτέ μοι ἡμέρας τρεῖς καὶ ἀποκριθήσομαι.“ πανοῦργος δὲ ὢν ὁ Αἴσωπος τυποῦται συγγραφὴν δανείου τοιαύτην, τόν τε Νεκτεναβὼ δεδανεισμένον παρὰ Λυκούργου τάλαντα χίλια, προσθεὶς χρόνον τὸν παρεληλυθότα. μετὰ δὲ τρεῖς ἡμέρας ἦλθεν Αἴσωπος καὶ εὗρε τὸν Νεκτεναβὼ μετὰ τῶν φίλων ἐκδεχόμενον Αἴσωπον. εἰσελθὼν δὲ Αἴσωπος ἐπέδωκε τὸ χαρτίον. οἱ δὲ πρὸ τοῦ τὴν δύναμιν διαγνῶναι ἔφασαν τοῦτο ἐπίστασθαι. ὁ δὲ Αἴσωπος ἔφη „χάριν ἔχω· ἡ γὰρ προθεσμία τῆς ἀποδόσεως παρῆλθεν.“ ἀναγνοὺς δὲ τὴν ὁμολογίαν ὁ Νεκτεναβὼ εἶπεν „ἐμοῦ μηδὲν χρεωστοῦντος Λυκούργῳ ὑμεῖς μαρτυρεῖτε.“ οἱ δὲ εἶπον „οὔτε εἴδομεν οὔτε ἠκούσαμεν.“ εἶπεν οὖν πρὸς αὐτοὺς ὁ Αἴσωπος „εἰ ταῦτα οὕτως δοκεῖ, λέλυται τὸ ζήτημα.“ ὁ δὲ Νεκτεναβὼ ἔφη „μακάριος Λυκοῦργος

10. ἡμέρες C. ‖ 11. ἡ prius addidi. ‖ 18. φράσει supra η addito C. ‖ ὅ τι] ὃ δ' C. ‖ 23. τε] malim δή. ‖ 24. παρὰ Schneiderus, περὶ C.

ἔχων τοιαύτην φιλοσοφίαν ἐν τῇ βασιλείᾳ αὐτοῦ.“ δοὺς δὲ αὐτῷ φόρους δέκα ἐτῶν ἀπέπεμψεν. ὁ δὲ Αἴσωπος παραγενόμενος εἰς Βαβυλῶνα διηγήσατο Λυκούργῳ πάντα τὰ ἐν Αἰγύπτῳ πραχθέντα, ἀποδοὺς αὐτῷ καὶ τὰ χρήματα· ὁ δὲ Λυκοῦργος ἐκέλευσεν ἀνδριάντα χρυσοῦν ἀνατεθῆναι τῷ Αἰσώπῳ.

(21) Μετ' ὀλίγον δὲ χρόνον τῷ βασιλεῖ συνταξάμενος ἐβουλεύσατο εἰς τὴν Ἑλλάδα πλεῦσαι, ὀμόσας αὐτῷ πάλιν ὑποστρέψαι εἰς Βαβυλῶνα κἀκεῖ τὸν λοιπὸν βιῶσαι χρόνον. περιερχομένου οὖν τὰς πόλεις τῆς Ἑλλάδος καὶ τὴν ἑαυτοῦ ἐπιδεικνυμένου σοφίαν, παρεγένετο ἐν Δελφοῖς, οἱ δὲ ὄχλοι ἡδέως μὲν αὐτοῦ ἠκροῶντο, οὐδὲν δὲ αὐτὸν ἐτίμησαν. προσκρούσας δὲ πρὸς αὐτοὺς ὁ Αἴσωπος ἔφη „ὅμοιοί ἐστε ξύλῳ ἐν θαλάσσῃ φερομένῳ· ἐκεῖνο γὰρ θεωροῦντες ἐκ πολλοῦ διαστήματος ὑπὸ κυμάτων φερόμενον δοκοῦμέν τινος χρυσίου ἄξιον εἶναι, ἐπειδὰν δὲ ἐγγυτάτω προσέλθωμεν, ἐλάχιστον ὁρῶμεν. κἀγὼ οὖν πόρρωθεν ὑπάρχων τῆς ὑμῶν πόλεως κατεπληττόμην ὑμᾶς ὡς μεγίστους, ἐλθὼν δὲ πρὸς ὑμᾶς, ὦ Δελφοί, εὗρον ὑμᾶς ταπεινοτέρους τῶν ἄλλων ἀνθρώπων καὶ ἀχρειοτέρους ὄντας. πεπλάνημαι καλὴν ἔχων ὑπὲρ ὑμῶν διάνοιαν. ὧδε ἄξιον ποιεῖτε τῶν προγόνων ὑμῶν.“ ταῦτα ἀκούσαντες οἱ ἐν Δελφοῖς ἔφησαν „τίνες γάρ εἰσιν οἱ πρόγονοι ἡμῶν;“ ὁ δέ „σύνδουλοι. εἰ δὲ ἀγνοεῖτε, μάθετε. νόμος ἦν παρὰ τοῖς Ἕλλησιν, ἐὰν πόλεις καταβάλωνται, τῶν λαφύρων τὸ δέκατον μέρος πέμπειν ἀπό τε βοῶν, προβάτων, αἰγῶν καὶ τῶν λοιπῶν κτήνων, ἀπὸ χρημάτων, ἀπὸ σωμάτων ἀνδρῶν τε καὶ γυναικῶν. ἐκ τούτων οὖν ὑμεῖς γεννηθέντες ἀνελεύθεροί ἐστε, ἐκεῖθεν γεννηθέντες τῶν Ἑλλήνων δοῦλοι καθεστήκατε.“ ταῦτα εἰπὼν ὁ Αἴσωπος περὶ ἐκδημίαν ἐγένετο. οἱ δὲ Δελφοὶ λογισάμενοι, ὅτι καὶ ἂν εἰς ἑτέρας ἀπελθὼν Αἴσωπος πόλεις χείρονα αὐτοὺς κακολογήσαι, ἐβουλεύσαντο ἀνελεῖν δόλῳ καὶ ὡς ἱερόσυλον αὐτὸν καταδικάσαι. παρατηρησάμενοι οὖν τὸν δοῦλον αὐτοῦ πρὸ της πύλης τῆς πόλεως σκεύη φέροντα ἐνέκρυψαν εἰς τὰ στρώματα

9. περιιὼν et ἐπιδεικνύμενος v. ‖ 14. ὑπὸ addidi ex v. ‖ 19. ὄντως C. ‖ 20. ὧδε] ὁ δὲ C. ‖ 29. ἂν] ἐὰν C. ‖ 30. κακολογήσας C. ‖ 32 sqq. cf. Arist. Vesp. 1446 sqq. c. Schol. ad h. l. et ad Pac. 130. Plut. d. ser. num. vind. p. 556 sq. Heraclid. frgm. 22. Suid.

ἣν ἔλαβον φιάλην χρυσῆν ἐκ τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος. ὁ δὲ Αἴσωπος ἀγνοῶν τὰ συνεσκευασμένα αὐτῷ ὥδευεν εἰς τὴν Φωκίδα. οἱ δὲ Δελφοὶ εἰσδραμόντες ἐκράτησαν αὐτὸν καὶ εἰσήγαγον εἰς τὴν πόλιν. διαπορουμένου οὖν τοῦ Αἰσώπου, τί τοῦτο, ἔφησαν „ἵνα τί ἔκλεψας ἐκ τοῦ ἱεροῦ ἃ ἡμεῖς διαβεβαιούμεθα;“ τοῦ δὲ ἀρνουμένου καὶ δισχυριζομένου, μηδὲν εἰδέναι, ἔτι δὲ ἀπολέσθαι λέγοντος ἐὰν καταγνωσθῇ, ἐκτινάξαντος αὐτοῦ τὰ σκεύη εὗρον τὴν χρυσῆν φιάλην τοῦ Ἀπόλλωνος, καὶ λαβόντες οἱ Δελφοὶ ἐπεδείκνυον πᾶσι τοῖς ἐν τῇ πόλει, μετὰ πολλοῦ θορύβου καὶ ταραχῆς περικομίζοντες αὐτήν. ὁ δὲ Αἴσωπος αἰσθόμενος τὴν ἐπιβουλὴν πολλὰ ἐδέετο ἀπολυθῆναι, οἱ δὲ αὐτὸν συλλαβόμενοι ἐνέκλεισαν εἰς φυλακήν. ὁ δὲ Αἴσωπος οὐχ εὑρὼν μηχανὴν τῆς πονηρᾶς τύχης, ὡς θνητὸς ὢν δυνήσεται τὸ μέλλον ἐκφυγεῖν, ἐπένθει. φίλος δὲ αὐτοῦ τις, Δημέας ὀνόματι, παρακαλέσας τοὺς φύλακας εἰσῆλθε πρὸς αὐτόν, καὶ ἰδὼν αὐτὸν κλαίοντα ἔλεγε „ἵνα τί οὕτω πενθεῖς;“ μειδιάσας δὲ ὁ Αἴσωπος λέγει πρὸς αὐτόν „γυνή τις προσφάτως τὸν ἄνδρα θάψασα καθ᾽ ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνῆμα ἐθρήνει. ἀροτριῶν δέ τις σύνεγγυς ἐπεθύμησε μετ᾽ αὐτῆς συγγενέσθαι. καταλιπὼν οὖν τὰς βόας αὐτοῦ ἔκλαιε παραγενόμενος μετὰ τῆς γυναικός. ἡ δὲ ἐπύθετο αὐτοῦ, διὰ τί καὶ αὐτὸς κλαίει, ὁ δὲ εἶπεν „ὅτι κἀγὼ γυναῖκα εὐπρεπῆ κατώρυξα· ὅταν οὖν κλαύσω, τῆς λύπης κουφίζομαι.“ ἡ δὲ ἔφη „κἀγὼ τὸ αὐτὸ πάσχω.“ κἀκεῖνός φησιν „εἰ τοίνυν ταῖς αὐταῖς περιεπέσαμεν λύπαις, τί οὐκ ἐπισυγγενόμεθα ἑαυτοῖς; ἐγὼ μὲν γὰρ ἀγαπήσω σε ὡς ἐκείνην, σὺ δὲ κἀμὲ ὡς τὸν ἄνδρα.“ ταῦτα λέγων ἔπεισε τὴν γυναῖκα, καὶ συγγινόμενος ἀνέπηξεν αὐτήν. ἐλθὼν δέ τις καὶ λύσας αὐτοῦ τὰς βόας ἀπήλασεν. ὁ δὲ ἐλθὼν καὶ μηδὲν εὑρὼν ἤρξατο θρηνεῖν καὶ κόπτεσθαι ὀδυρόμενος. ἡ δὲ γυνὴ ἐλθοῦσα καὶ εὑροῦσα αὐτὸν ὀλοφυρόμενον ἔφη „πάλιν κλαί-

3. *Φωκίδα*] utatur aliquis hoc loco ad defendendam librorum scripturam ap. Paus. IX. 12, 1. *ἀπιόντι ἐκ Δελφῶν Κάδμῳ τὴν ἐπὶ Φωκέων.* ‖ *ἐπιδραμόντες* v, an *ἐκδραμόντες?* ‖ 5. *ἐκκλέψας* C. ‖ 10. *περικομίζοντες* aut *περιεκόμιζον* Schneiderus, *περικομίζων* C. ‖ 15. *Δαμᾶς* v. ‖ 17—1 (p.54). fabula est 343. ed. Cor. ‖ 27. *κἀμὲ* addidi ex v. ‖ 28. *ἀνέπαιξεν* C. ‖ 29. *ἀπήλασεν*] *γρ. κέκλοφεν* mg. C.

εις;“ ὁ δέ φησι „ἄρτι ἐν ἀκριβείᾳ τῷ ὄντι πενθῶ.“ καὶ ἐκεῖνος μὲν οὕτως. σὺ δὲ βλέπων τὴν ἐνσχοῦσάν με ἐξ ἐνέδρας τύχην διὰ τί ὀδύρομαι ἐρωτᾷς;“ ὁ δὲ ἐπ᾽ αὐτῷ λυπούμενος ἔφη „τί γάρ σοι ἔδοξεν ὑβρίζειν τοὺς Δελφούς; ἡ τοιαύτη σου σοφία εἰς τὸ ὑβρίζειν πολίτας κατέληξε, καὶ μάλιστα ἐν τῇ ἰδίᾳ πατρίδι.“ ὁ οὖν φίλος πάλιν πρὸς αὐτὸν ἔφη „σὲ οἱ Δελφοὶ ἀνέκαμψαν ψηφισάμενοι ὡς βλάσφημον καὶ ἀλαζόνα καὶ ἱερόσυλον ἀπὸ κρημνοῦ βληθῆναι, ἵνα μηδὲ ταφῆς τύχῃς.“ ταῦτα οὖν αὐτοῦ ἐν τῇ φυλακῇ τῷ Αἰσώπῳ λαλοῦντος συνῆλθον οἱ Δελφοὶ καὶ ἐκβαλόντες τὸν Αἴσωπον ἀπὸ τῆς φυλακῆς εἷλκον μετὰ βίας ἐπὶ τὸ κατακρημνίσαι αὐτόν. ὁ δὲ Αἴσωπος παρεκάλει αὐτοὺς ἐπὶ τὸ ἀκοῦσαι αὐτοῦ. ἐπιστρεψάντων δὲ αὐτῶν ἔφη „ὅτε ἦν ὁμόφωνα τὰ ζῶα, μῦς βάτραχον φιλήσας ἐκάλεσεν αὐτὸν εἰς δεῖπνον καὶ ἀπήγαγεν αὐτὸν εἰς ταμιεῖον πλουσίου, ὅπου ἦν ἄρτος, τυρός, μέλι, ἰσχάδες καὶ ὅσα ἀγαθά, καί φησιν· ἔσθιε, βάτραχε, ἐξ ὧν βούλει. μετὰ δὲ τὸ εὐφρανθῆναι αὐτοὺς ἔφη ὁ βάτραχος πρὸς τὸν μῦν· ἐλθὲ καὶ σὺ πρός με νῦν, πλήσθητι τῶν ἀγαθῶν μου· ἀλλ᾽ ἵνα μὴ ὄκνος σοι γένηται, προσαρτίσω τὸν πόδα σου τῷ ποδί μου. δήσας οὖν τὸν ποῦν τοῦ μυὸς τῷ αὐτοῦ ποδὶ ἥλατο εἰς τὴν λίμνην, ἕλκων καὶ τὸν μῦν δέσμιον. ὁ δὲ πνιγόμενος ἔλεγεν· ἐγὼ μὲν ὑπὸ σοῦ νεκρωθήσομαι, ἐκδικηθήσομαι δὲ ὑπὸ ζώντων. ἰκτὶν δὲ θεασάμενος τὸν μῦν πλέοντα καταπτὰς ἥρπασεν. ἐφέλκεται οὖν σὺν αὐτῷ καὶ ὁ βάτραχος. καὶ οὕτως ἀμφοτέρους διεσπάραξεν. οὕτως οὖν καὶ αὐτὸς παρ᾽ ὑμῶν ἀβούλως ἀποθανὼν νόμῳ ἐκδικηθήσομαι. Βαβυλὼν γὰρ καὶ ἡ Ἑλλὰς ὅλη τὸν ἐμὸν ἐκζητήσουσι θάνατον.“ τοῦτο δὲ ἀκούσαντες οἱ Δελφοὶ οὐκ ἐφείσαντο αὐτοῦ, ἀλλ᾽ εἷλκον αὐτὸν ἐπὶ τὸν κρημνόν. τοῦ δὲ Αἰσώπου δραμόντος καὶ ἐπὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος καταφυγόντος οὐκ ἠλέησαν, ἀλλ᾽ ἐκβαλόντες αὐτὸν εἷλκον μετ᾽ ὀργῆς εἰς τὸ κρημνίσαι. ἀπαγόμενος δὲ ὁ Αἴσωπος ἔφη „ἀκούσατέ μου, ἀδελφοὶ Δελφοί. λαγωός ποτε ὑπὸ ἀετοῦ

4. δελφίους hic et infra aliquoties C. ‖ 13—26. fabula est 245. ed. Cor. ‖ 13. ὁμόφωνα supra ϱο addito C. ‖ 23. ζώντων] μείζονος v. ‖ ἴκτης C, qui et post θεασάμενος addit, ὅ ἐστι λούπης. ‖ 33—1 (p.56). fabula est 2. ed. Cor.

διωκόμενος κατέφυγεν εἰς κοίτην κανθάρου, δεόμενος αὐτοῦ διασωθῆναι. ὁ δὲ κάνθαρος ἱκέτευε τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, καὶ ἐξώρκιζεν αὐτὸν κατὰ τοῦ μεγάλου Διός, μὴ καταφρονῆσαι αὐτοῦ τῆς σμικρότητος. ὀργῆς δὲ πλησθεὶς ὁ ἀετὸς καὶ θυμοῦ ταῖς πτέρυξι ῥαπίσας τὸν κάνθαρον, ἁρπάσας τὸν λαγωὸν κατέφαγεν. ὁ δὲ κάνθαρος ἐμπλακεὶς συνεπετάσθη τῷ ἀετῷ καὶ παρατηρησάμενος αὐτοῦ τὴν νοσσίαν διέφθειρεν αὐτοῦ τὰ ᾠά. ὁ δὲ ἀετὸς ἐδεινοπάθει ἐπὶ τῇ διαφθορᾷ τῶν ἰδίων ᾠῶν καὶ ἐζήτει τὸν τοῦτο τολμήσαντα πιάσαι. τοῦ δὲ καιροῦ πάλιν ἐλθόντος εἰς ὑψηλότερον ἐνεοττοποίησε τόπον. ὁ δὲ κάνθαρος τὰ αὐτὰ διαπραξάμενος πάλιν τὰ ᾠὰ διέφθειρεν. ἐλθὼν δὲ ὁ ἀετὸς καὶ τὸ συμβὰν εὑρηκὼς ἐθρήνει, λέγων ἐκ θεῶν εἶναι τὸν χόλον, ἵνα τὸ γένος τῶν ἀετῶν σπανισθῇ. τοῦ δὲ καιροῦ πάλιν ἀνώξαντος δυσφορῶν ὁ ἀετὸς οὐκέτι εἰς τὰς νοσσίας ἔθηκε τὰ ᾠά, ἀλλ' ἀναβὰς ἐπὶ τὰ τοῦ Διὸς γόνατα ἱκέτευε λέγων· δεύτερον ἤδη ἠρήμωμαι, τὸ δὲ τρίτον σοὶ τὰ ᾠὰ παρατίθημι, ἵνα αὐτὰ διατηρήσῃς. καὶ ἔθηκεν αὐτὰ ἐπὶ τοῖς τοῦ Διὸς γόνασιν. ὁ δὲ κάνθαρος ἐπιγνοὺς τὸ γενόμενον κατέπασσεν ἑαυτὸν πλῆθος κόπρου, καὶ ἀναβὰς πρὸς τὸν Δία καὶ περινοστήσας διετινάξατο τὸν κόπρον ἐπὶ τὸ τοῦ Διὸς πρόσωπον. ὁ δὲ ἀναπηδήσας, ἐπιλαθόμενος ὅτι ἐν τῷ κόλπῳ βαστάζει τὰ τοῦ ἀετοῦ ᾠά, ῥίψας αὐτὰ κατέαξε. γνοὺς δὲ ὁ Ζεὺς τὴν ἀδικίαν καὶ παραπόνησιν τοῦ κανθάρου ᾔσθετο τὴν ἐξ αὐτοῦ πρὸς τὸν ἀετὸν βλάβην. καὶ δὴ παραγενομένου αὐτοῦ ἔφη· δικαίως ἀπώλεσας τὰ τέκνα σου· κάνθαρός ἐστιν ὁ σὲ ἀδικήσας. ὁ δὲ κάνθαρος ἔφη πρὸς αὐτόν· οὐκ ἐμὲ μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς σὲ ἠσέβησεν· ὁρκισθεὶς γὰρ οὐκ ἐπείσθη, ἀλλὰ τὸν ἱκέτην ἀπέκτεινεν· οὐ παύσομαι δέ, εἰ μὴ τελείως αὐτὸν ἐκριζώσω. ὁ δὲ Ζεὺς μὴ θέλων τὸ τῶν ἀετῶν γένος σπανισθῆναι συνεβούλευσε τῷ κανθάρῳ διαλλαγῆναι. τοῦ δὲ μὴ βουλομένου ὑπακοῦσαι μετέβαλεν ὁ Ζεὺς τὸν τοκετὸν τῶν ἀετῶν, ὁπότε μὴ φαίνεται κάνθαρος μήτε βλάπτειν

6. *ἐμπλακεὶς* Schneiderus, ...*ητεὶς* C. ‖ 10. *ἐνεοττοποίησε* aut *ᾠοποίησε* Schneiderus, *ᾠοτοποίησε* C. ‖ 14. *ἀνοίξαντος* C. ‖ 32. *τοκετὸν* cum v Schneiderus, *τοκέτων* C.

δύναται, καὶ τότε τὸν ἀετὸν νεοττοποιεῖν. καὶ ὑμεῖς, ὦ ἄνδρες Δελφοί, μὴ ἀτιμάσητε τὸν θεὸν τοῦτον, διότι τὸ ἱερὸν μικρὸν ὑπάρχει. ἐνθυμήθητε οὖν τὸ τοῦ κανθάρου καὶ αἰδέσθητε τὸν Ἀπόλλωνα διὰ τὸ ἐμὲ εἰς αὐτὸν καταφυγεῖν.“ οἱ δὲ τοῖς ὑπ᾽ αὐτοῦ λεγομένοις μὴ πεισθέντες ἀπήγαγον αὐτὸν ἐπὶ τὸν κρημνὸν καὶ ἔστησαν αὐτὸν ἐπὶ τοῦ ἄκρου. ὁ δὲ Αἴσωπος βλέπων τὸν ἑαυτοῦ μόρον εἶπεν „ἀτίθασσοι, ἐπεὶ παντοίως ὑμᾶς οὐ πείθω, ἀκούσατέ μου τούτων τῶν λόγων. γεωργός τις γηράσας ἐπ᾽ ἀγρῷ, μηδέπω εἰς πόλιν εἰσελθὼν παρεκάλει τοὺς ἰδίους τὴν πόλιν θεάσασθαι. οἱ δὲ οἰκεῖοι αὐτοῦ ἔζευξαν ἅμαξαν καὶ ὀνάρια εἰπόντες· ἔλαυνε μόνον καὶ αὐτά σε ἐν ἔθει ὄντα καταστήσει εἰς τὴν πόλιν. χειμῶνος δὲ ἤδη γενομένου σκοτοειδοῦς κατὰ τὴν ὁδὸν τὰ ὀνάρια πλανηθέντα εἰσῆλθον εἴς τινα τόπον ἀπόκρημνον. ὁ δὲ τὸν ἴδιον θεασάμενος κίνδυνον ἔφη· ὦ Ζεῦ, τί σε ἀδίκησα, ὅτι οὕτως ἀπόλλυμαι, καὶ ταῦτα οὐχ ὑπὸ ἵππων ἐντίμων οὔτε ἡμιόνων γενναίων, ἀλλὰ ὑπὸ ὀναρίων ἐλαχίστων; κἀγὼ δὲ πάλιν τὰ αὐτὰ δυσφορῶ, ὃς οὐχ ὑπὸ ἐντίμων ἢ ἐλλογίμων ἀνδρῶν, ἀλλ᾽ ὑπὸ ἀχρείων καὶ κακίστων δούλων ἀπόλλυμαι. γυνή τις εἶχε θυγατέρα παρθένον μωράν. πάντοτε οὖν ηὔχετο τῇ θεᾷ νοῦν αὐτῇ χαρίσασθαι, εὐχομένης δὲ αὐτῆς παριοῦσα ἡ παρθένος ἡ μωρὰ ἤκουε τῶν λόγων καὶ κατεῖχε. μεθ᾽ ἡμέρας δὲ σὺν τῇ μητρὶ εἰς ἀγρὸν ἐξελθοῦσα καὶ τῆς προαυλίου προκύψασα θύρας εἶδεν ὄνον θήλειαν ὑπὸ ἀνθρώπου βιαζομένην. προσελθοῦσα δὲ τῷ ἀνθρώπῳ εἶπε· τί ποιεῖς, ἄνθρωπε; νοῦν αὐτῇ ἐντίθημι. ἀναμνησθεῖσα δὲ ἡ μωρά, ὅτι καθεκάστην ἡ μήτηρ αὐτῆς νοῦν αὐτῇ ηὔχετο, παρεκάλει λέγουσα· ἄνθρωπε, ἔνθες κἀμοὶ νοῦν· ἡ γὰρ μήτηρ μου πρὸς τοῦτο πολύ σε εὐχαριστήσει. ὁ δὲ ἐπακούσας καὶ καταλιπὼν τὴν ὄνον διεπαρθένευσε τὴν κόρην φθείρας αὐτήν, ἡ δὲ διεφθαρμένη μετὰ περιχαρίας ἔρχεται πρὸς τὴν μητέρα αὐτῆς λέγουσα· ἰδού, μῆτέρ μου, κατὰ εὐχήν σου νοῦν ἔλαβον. ἡ δὲ μήτηρ λέγει· ἐπήκουσάν

7. *Αἴσωπος*] *ἀσκόπως* C. ‖ 9—17. fabula est 346. ed. Cor. ‖ 15. *κίνδυνος* C. ‖ *Ζεῦς* C. ‖ 18. *ὅς*] *ὡς* C. ‖ 20—6 (p. 57). haec fabula si qua re sola novitate praestat. ‖ 22. *παριοῦσα* aut *παροῦσα* Schneiderus, *παρρησία* C. ‖ 29. *εὐχαριστήσει* Schneiderus, *εὐχαριστήσῃ* C. ‖ 30. *τῇ κόρῃ* C. ‖ 33. *εὐχήν* Schnei-

μου οἱ θεοί, τέκνον. ἡ δὲ ἔφη· ναί, μῆτερ. ἡ δέ· καὶ ποίῳ τρόπῳ τοῦτο ἔγνως; καὶ ἡ μωρά· ἄνθρωπός τις μακρὸν πυρὸν καὶ δύο στρογγύλα νευρώδη ἔθηκεν ἐν τῇ κοιλίᾳ μου ἔσω βαλὼν καὶ ἔξω ἐντρέχων ἐνέβαλέ με, κἀγὼ δὲ ἡδέως εἶχον. ἡ δὲ μήτηρ ἀκούσασα καὶ ἰδοῦσα ἔφη· ὦ τέκνον, ἀπώλεσας καὶ ὃν πρῶτον εἶχες νοῦν.“ μέλλων δὲ ὁ Αἴσωπος ἀπὸ τοῦ κρημνοῦ ἀπόλλυσθαι ἕτερον ἔφη λόγον. „ἀνήρ τις τῆς ἰδίας ἐρασθεὶς θυγατρὸς καὶ ἔρωτι τρωθεὶς σατανικῷ ἀπέστειλεν εἰς ἀγρὸν τὴν γυναῖκα αὐτοῦ, τὴν δὲ θυγατέρα κρατήσας ἐβιάσατο. ἡ δὲ ἔλεγε· πάτερ, ἀνόσια πράσσεις· ἤθελον μᾶλλον ὑπὸ ἑκατὸν ἀνδρῶν μοιχευθῆναι ἢ σοῦ. τοῦτο δὴ καὶ ἐφ᾽ ὑμῖν λέγω, παράνομοι Δελφοί. προῃρούμην Σικελίαν κακοπαθοῦντα κυκλεῦσαι ἢ ἐνθάδε παρανόμως ὑφ᾽ ὑμῶν ἀποθανεῖν. καταρῶμαι δὲ ὑμῶν τὴν πατρίδα καὶ θεοὺς μαρτύρομαι, οἳ ὑπακούσονταί μου ἀδίκως ἀπολλυμένου καὶ ἐκδικήσουσί με.“ οἱ δὲ ὠθήσαντες ἔρριψαν αὐτὸν κατὰ τοῦ κρημνοῦ, καὶ οὕτως ἀπέθανε. λοίμῃ δὲ καὶ συνοχῇ ἰσχυρᾷ κατασχεθέντες οἱ Δελφοὶ χρησμὸν ἔλαβον, ἐξιλεώσασθαι τὸν τοῦ Αἰσώπου μόρον· ἐτύπτοντο γὰρ ὑπὸ τῆς ἰδίας συνειδήσεως δολοφονήσαντες τὸν Αἴσωπον. ναοποιήσαντες οὖν ἔστησαν αὐτοῦ στήλην. μετὰ δὲ ταῦτ᾽ ἀκούσαντες οἱ τῆς Ἑλλάδος ἔξαρχοι καὶ οἱ λοιποὶ διδάσκαλοι τὰ εἰς τὸν Αἴσωπον πραχθέντα, παραγενόμενοι ἐν Δελφοῖς συζήτησιν ποιησάμενοι ἐξεδίκησαν αὐτοῦ τὸν θάνατον.

derus, εὐχῶν C. ‖ 3. πυρὸν] τυρσὸν Schneiderus. ‖ 5. εἶχον Schneiderus, ἦχον C. ‖ 6. ὃν] τὸν C: ὃν post πρῶτον add. Schneiderus. ‖ 7—11. fabula est 345. ed. Cor. ‖ 11. σοῦ Schneiderus, σοι C. ‖ 12. προῃρούμην Schneiderus, προαιρούμην C. ‖ 13. κακοπαθοῦντα] κακοπαθῶν Schneiderus. ‖ 15. μαρτύρομαι cum v Schneiderus, μαρτυρῶμαι C. ‖ 23. συζήτησιν ποιησάμενοι] καὶ ἐκκλησίαν ποιήσαντες Laurentianus. ‖ 24. ἐξεδίκησαν Laurentianus, ἐκ δίκησαν C. ‖ αὐτοῦ τὸν θάνατον] τὸν τοῦ αἰσώπου μόρον M et Laurentianus, nisi quod μόρρων.

Αἴσωπος ὁ λογοποιὸς Λυδὸς μὲν ἦν τὸ γένος, τύχῃ δὲ ἐδούλευσεν Ἀθηναίῳ Τιμάρχῳ τῷ καλουμένῳ Κουρσίᾳ. σφόδρα δὲ εὐγενὴς γενόμενος τοῖς τρόποις καὶ φιλοδεσπότης θεράπων, τῆς μουσικῆς ἐπιπνεούσης αὐτοῦ τῇ γλώττῃ, ποικίλοις τοὺς Ἕλληνας εἱστιᾶτο μύθοις, μάλιστα οὐκ ἀνεπιτηδείους πρὸς βιωτικὴν παιδείαν καὶ νέων ἀγωγήν, νουθετικοὺς δὲ καὶ ὠφελιμωτάτους λόγους συνταξάμενος προσενήνοχεν εἰς τὸν βίον, προσπλέξας ἀλόγων ζώων κοινωνίαν, ἐν οἷς ἀνθρώπων σκολιὰ ἔργα καὶ ἤθη ἀθέμιτα καὶ τρόπους παμποικίλους προσεικάσας ἐν τοῖς ἐπιμυθίοις ἐδήλωσε. κατὰ δὲ τὸν τῆς παιδείας νόμον τυχὼν φύσεως ἀρίστης ἠξιώθη βιβλιοθήκης· ὅθεν τοῖς πολιτευομένοις καὶ τοῖς λέγειν προαιρουμένοις εἰς τὰς περὶ τοὺς ἀγῶνας φιλοτιμίας εὐπορία λόγων αὔξεται. οἱ μὲν οὖν ἐκ τῶν τραγῳδιῶν τὰ κεφάλαια συναγαγόντες εἰς τὸ μέσον αὐτοῖς τεθείκασιν, ἡγούμενοι δεῖν ταῖς τῶν ἰδίων ἐπιστήμαις τὰς τῶν ποιητῶν γνωμολογίας μάρτυρας παρέξειν καὶ τοὺς τρόπους αὐτῶν θέσθαι πιστοτέρους διὰ τοῦτο. ἄλλοι τινὲς τῶν εἰς τὸν βίον καλῶς εἰρημένων συνενηνόχασι πολὺ πλῆθος ἀποφθεγμάτων, νομίζοντες ἡμᾶς τοὺς τούτων ἐπιμιμνησκομένους μεγάλα πλεονεκτήσειν ἐν τοῖς λόγοις. ἐπικεχειρήκασι δέ τινες τὰς ἐκ τῶν λόγων ἐναντιώσεις καὶ γνώμας ὁμοίως παραβολαῖς συνάπτοντες καθ' ἕκαστον εἶδος παραδοῦναι τοῖς πολιτευομένοις, ὅπως ἐξ ἐκείνου πολλὰς ἔχωσιν ἐπὶ τῶν ἀγώνων ἄγειν καὶ κατ-

1. *τοῦ Αἰσώπου μῦθοι κατὰ στοιχεῖον ἀπὸ τοῦ ᾱ μέχρι τοῦ ῶ* ante *Αἴσωπος* add. C, *αἰσώπου τοῦ λογοποιοῦ μῦθοι κατὰ στοιχεῖον* V. ‖ *τῷ γένει, ἐδούλευε δὲ ἐν ἀθήναις ζημάρχῳ τῷ ἐπικαλουμένῳ καρασίᾳ* Vv, *τιμάρχῳ* atque *κουρσίᾳ* et Casinensis teste Furia p. VII, 5. *Demarcho* vertit Hadamarius. ‖ 3. *τοῖς τρόποις* om. C. ‖ 5. *εἱστιᾶτο*] *ἠτιᾶτο* C. ‖ *ἂν ἐπιτηδείους* Cv. ‖ 7. *ὠφελιμωτάτους λόγους*] *ὠφελίμους* C. ‖ 8. *ἐν* om. V. ‖ 9. *ἀθέμιτα*] *αὐθαίρετα* Vv. ‖ 11. *δὲ* om C. ‖ *τῆς* om. Vv. ‖ 14. *οἱ*] *ὅσοι* CVv. ‖ 15. *δεῖν*] *δεινὸν* C. ‖ 16. *ἐπιστήμαις*] *ἐπιστήμαις εἰς* C, *ἀπιστεῖν εἶς* V, *ἀσπιστεῖν εἰς* v. ‖ *τὰς*] *τὸ* C. ‖ 17. *μαρτυρίας* Vv. ‖ 18. *τὸν βίον καλῶς*] *τὸν .... αλῶν* C. ‖ 20. *μεγάλας πλεονεκτήσεις* C. ‖ 22. *παραβολαῖς*] *προβολὰς* Vv. ‖ 24. *ἔχωσιν*] *...σιν* V. ‖ aut in *ἄγειν* latet nomen, quocum *πολλὰς* iungendum, aut *πολλα* et *λέγειν* scribendum cum Hadamario.

ισχύειν διὰ τούτων δύνωνται τοὺς ἀντιλέγοντας. τοῦτον οὖν τὸν τρόπον Αἴσωπος εὗρεν, ὁρῶν χρήσιμον οὖσαν δούλοις καὶ ἐλευθέροις ἐν ταῖς δημηγορίαις τὴν τῶν μύθων δήλωσιν τοῖς πρόσθεν εἰρημένοις· τῶν γὰρ λεόντων καὶ τῶν ἐλάφων καὶ τῶν ἄλλων θηρίων τὸ ἐπιβάλλον καὶ θαυμασιότητος μετέχον ἐξ αὐτῶν πρὸ ὀφθαλμῶν τιθέμενος ψυχαγωγεῖν εἴωθε τοὺς ἀκούοντας. εὑρίσκομεν γὰρ παραπλησίας αὐτοῦ τὰς διηγήσεις ἐν ταῖς ὑπὸ τῶν ποιημάτων γνωμολογίαις, περιπεφρασμένας μὲν καὶ προσομοιούσας ταύταις καὶ προσκεχειρισμένας ὑπ' αὐτῶν, ἔτι καὶ τῶν κεφαλαίων παράλληλα θέντες ἐπ' αὐτῆς τῆς ἀληθείας τὰ ἐν ἑκάστῳ μύθῳ λεγόμενα.

1. *δύνανται* C. ‖ 2. *εὗρεν αἴσωπος* Vv: *Αἴσωπον* C. ‖ *ὅρον* C. ‖ *χρησίμην* Vv. ‖ 4. *τῶν γὰρ*] *τὴν γὰρ τῶν* Vv, *καὶ γὰρ τῶν* Hadamarius. ‖ *λύκων καὶ* ante *ἐλάφων* add. Vv. ‖ 6. *μετέχων* C. ‖ *θέμενος* C. ‖ 7. *εἰώθει* Vv. ‖ *αὐτοῦ τὰς* om. Vv. ‖ 8. an *ταῖς τῶν ποιητῶν*? ‖ 9. *πεφρασμένας* Vv. ‖ *καὶ προσομοιούσας* (an *προσομοίους οὖσας* aut *προσομοιάζουσας*?) *ταύταις* om. Vv. ‖ *προσκεχρημένας* Vv. an *προκεχειρισμένας*? ‖ 10. *ἔτι*] *ἐπεὶ* Vv. ‖ Totum hoc epimetrum in libro Monac. 551. fol. 262 (cf. supr. p. 3), ex quo descriptum nuperrime ad me transmisit I. G. Krabingerus, vir amicissimus, admodum vitiose legitur sic: *Ἔσωπος ὁ μυθοποιὸς φρὶξ μὲν ἦν τὸ γένος, τῇ τύχῃ δὲ δοῦλος, μέλας ὑπάρχων καὶ κακοειδὴς εἰς ὑπερβολὴν σφόδρα. τὰ δὲ περὶ αὐτοῦ σαφῶς εἰς τὸ τέλος εὑρήσεις τοῦ βιβλίου. οὗτος ὑπὸ ἀγαθοποιίας εὐπορήσας, ἐχαρήσατο αὐτῷ ἡ τύχη λόγον σοφίας, καὶ γέγονε τῶν οἳ* (h. e. *τῷ νοΐ*) *ἐπιτήδιος. ποικίλους γὰρ μύθους πρὸς συνοπτικὴν παιδείαν καὶ νουθεσίαν ὠφελήμους καὶ νουθετικοὺς συνταξάμενος, εἰσενήνοχεν εἰς τὸν βίον, προπλέξας ἀλόγων ζώων κοινωνίαν ἤθεσί τε καὶ ἔργα, καὶ τρόπους ποικίλους προσεικάσας, ἐν τοῖς μύθοις ἐδήλωσε, ὅθεν τοῖς πολιτευομένοις εἰς τὰς περὶ τοὺς ἀγῶνας φιλοτιμίας εὐπορία λόγων αὔξεται· τῶν γὰρ λεόντων καὶ τῶν ἐλάφων καὶ τῶν ἄλλων θηρίων τῆς θαυμασιώτητος πρὸ ὀφθαλμῶν τιθέμενος, ψυχαγωγεῖν οἷα τοὺς ἀκούοντας. εὑρίσκομεν δὲ παραπλησίως αὐτοῦ τὰς διηγήσεις ἐν ταῖς τῶν ποιημάτων γλωττομολογίας περιπεφραγμένας καὶ προσομοιοῦν ταύτας· ἔτι καὶ θέας τὰ ἐν ἑκάστῳ μύθῳ λεγόμενα, ἅπερ εἰσὶ ταῦτα.*

IMPRESS. BERN. TAUCHNITZ. JUN.

LIBRARY OF CONGRESS
0 003 052 785 9

LIBRARY OF CONGRESS

0 003 052 785 9